BKΛOSH 1 αὐτῶν ante μείζων add Λ v ὁ om S 3 μόνῳ: μόνον KOS 5-6 parenthesin τοῦτο . . . Αἰγυπτίων suspicatus sum 6 αὐτῶν (i.e. et Moyses et Aaron): αὐτοῦ (i.e. Moyses solus) BH v γινομένοις KΛO 8 ὅτε: τότε KO 9 θαῦμα ποιεῖν KO 11-12 τῆς M. βακτηρίας BS: τῆς M. ῥάβδου KOH v τῆς βακτηρίας τοῦ M. Λ 12 καταφαγεῖν B²KΛOSH: διαφαγεῖν B (sed κατα suprascr B²) et v 13 δηλαδή Λ: δῆθεν BKOH v et S (sed δῆθεν ante ὄφεις coll) lemma hic τί φησιν τὰς γοητικὰς ῥάβδους O et in margine K 14 οὐδὲ ζωτικήν: οὐδ' ἐξωτικὴν ut vid Λ (sed corr Λ²) 17 ἅπαν: ὅλον KO πᾶν H v 19 ὑφεξελόμενος O 19-20 οὐδένα . . . πληγὴν hom causa om Λ 20 κατὰ om H πληγὴν: ὁρμὴν v 21 στρατός τις KO 22 γῆ . . . ὕδωρ . . . ἀὴρ . . . πῦρ Λ 22-23 τῇ προαιρέσει H v 23 συνεξαλλάσσοντα (cum λ suprascr) BH συνεξελάσσοντα K

Τῇ γὰρ αὐτῇ δυνάμει κατὰ τὸν αὐτὸν χρόνον καὶ τόπον τό τε ἀτακτοῦν ἐκολάζετο καὶ ἀπαθὲς διέμενε τὸ κακίας ἐλεύθερον. πάσης γὰρ τότε τῆς τῶν ὑδάτων φύσεως κατὰ τὴν Αἴγυπτον τῷ προστάγματι τοῦ Μωϋσέως εἰς αἷμα τραπείσης ὡς καὶ τοὺς ἰχθύας εἰς σαρκώδη παχύτητα τοῦ ὕδατος μετεθέντος διαφθαρῆναι, τοῖς Ἑβραίοις ἀρυομένοις ὕδωρ τὸ αἷμα ἦν. ὅθεν ἔσχε καὶ ἡ μαγγανεία καιρὸν ἐν τῷ παρὰ τοῖς Ἑβραίοις εὑρισκομένῳ ὕδατι τὸ αἱματῶδες εἶδος παρασοφίσασθαι. ὡσαύτως καὶ τῶν βατράχων τῇ Αἰγύπτῳ κατὰ τὸ ἀθρόον ἐφερψάντων, ὧν ἡ γένεσις οὐκ ἀκολουθίᾳ τινὶ φύσεως νενομισμένῃ πρὸς τοσοῦτον ἐχέθη πλῆθος, ἀλλ᾽ αὐτὸ τὸ πρόσταγμα τῆς τῶν βατράχων συστάσεως τὴν ἀναφανεῖσαν τότε τοῦ ζῴου φύσιν ἐκαινοτόμησε, τὸ μὲν Αἰγύπτιον ἅπαν τοῖς θηρίοις τούτοις κατὰ τὰς οἰκήσεις στενοχωρούμενον κατεφθείρετο· τῶν δὲ Ἑβραίων κατὰ τὰς διαγωγὰς τῆς ἀηδίας ταύτης ἐκαθάρευεν ἡ ζωή.

309 M. Οὕτως ὁ ἀὴρ τοῖς Αἰγυπτίοις μὲν οὐδεμίαν νυκτὸς καὶ ἡμέρας παρεῖχε διάκρισιν ἐν ὁμοίῳ διαμενόντων τῷ ζόφῳ, τοῖς δὲ Ἑβραίοις οὐδὲν ἐν τούτοις ἐκαινοτομεῖτο παρὰ τὸ σύνηθες. καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν τρόπον· ἡ χάλαζα, τὸ πῦρ, αἱ φλυκτίδες, οἱ σκνῖπες, αἱ κυνόμυιαι, τῶν ἀκρίδων τὸ νέφος κατὰ μὲν τῶν Αἰγυπτίων ἕκαστον καθὸ πέφυκεν ἐνήργει, οἱ δὲ Ἑβραῖοι φήμαις καὶ διηγήμασι τὸ τῶν συνοικούντων πάθος ἐπεγίνωσκον οὐδεμίαν ἐν ἑαυτοῖς προσβολὴν τῶν τοιούτων δεχόμενοι. εἶτα τῶν πρωτοτόκων

BΚΛΟSH 1 καὶ χρόνον καὶ Λ v 2 διέμεινε B H 4 τοῦ om H v 5 ὡς om KO εἰς om H 6 μεταθέντος H μόνοις post ἀρυομένοις add B v 7-9 ὅθεν . . . παρασοφίσασθαι om B forsan recte quamvis in scriptura (Ex 7, 22) fundatum 8 εἶδος: ὕδωρ Λ 9 μετασοφίσασθαι KO 10 ἐφερψάντων hic B: ante τῇ Αἰγύπτῳ (9) coll ΚΛΟSH v 13 καὶ ante τὸ add H 14 κατὰ . . . οἰκήσεις τοῖς . . . τούτοις Λ 15-16 κατὰ τὰς διαγωγὰς BH: om ΚΛΟS v 16 τῆς ἀηδίας ταύτης: κατὰ τὰς ἀηδίας ταύτας S κατὰ τὰς ἰδέας ταύτας KO 17-18 τοῖς . . . διαμενόντων om Λ 17 μὲν om BKOH 20 τἄλλα BH v ἅπαντα B 21 κυνόμυαι H 22 κατὰ: καὶ τὰ Λ καθὸ in textu om sed in margine add K 24 ἐγίνωσκον ΚΛΟSH v ἑαυτοῖς BS² v: αὐτοῖς ΚΛΟSH 25 τῶν τοιούτων προσβολὴν Λ

ὁ ὄλεθρος ἀκριβεστέραν ἐποίει τοῦ Ἑβραίου πρὸς τὸν Αἰγύπτιον τὴν διαίρεσιν· τῶν μὲν ἐπὶ τῇ τῶν φιλτάτων ἀπωλείᾳ συγχεομένων τοῖς θρήνοις, τῶν δὲ ἐν ἡσυχίᾳ πάσῃ καὶ ἀσφαλείᾳ διαμενόντων, οἷς ἡ σωτηρία τῇ προσχύσει τοῦ αἵματος κατησφαλίσθη κατὰ πᾶσαν εἴσοδον ἑκατέρωθεν τῶν σταθμῶν μετὰ τῆς ἐπεζευγμένης αὐτοῖς φλιᾶς κατασημανθέντων διὰ τοῦ αἵματος.

Ἐπὶ τούτοις τῶν Αἰγυπτίων τῇ τῶν πρωτοτόκων συμφορᾷ βεβλημένων καὶ καθ' ἑαυτὸν ἑκάστου καὶ κοινῇ πάντων ὀλοφυρομένων τὰ πάθη καθηγεῖται τῆς ἐξόδου τοῖς Ἰσραηλίταις ὁ Μωϋσῆς προκατασκευάσας αὐτοὺς ἐπὶ σχήματι χρήσεως μεθ' ἑαυτῶν τὸν τῶν Αἰγυπτίων πλοῦτον ἀνακομίσασθαι. καὶ τριῶν ἡμερῶν ὁδὸν ἔξω τῆς Αἰγύπτου γεγενημένων, πάλιν φησὶν ἡ ἱστορία, χαλεπὸν ποιήσασθαι τὸν Αἰγύπτιον τὸ μὴ παραμεῖναι τῇ δουλείᾳ τὸν Ἰσραὴλ καὶ πολεμικῶς ἅπαν συσκευάσαντα τὸ ὑπήκοον διὰ τῆς ἱππικῆς δυνάμεως ἐπιδραμεῖν τῷ λαῷ, τὸν δὲ θεασάμενον τὴν τῶν ἵππων τε καὶ τῶν ὅπλων παρασκευὴν ἀπειροπόλεμον ὄντα καὶ τῶν τοιούτων θεαμάτων ἀγύμναστον εὐθὺς καταπλαγῆναι τῷ φόβῳ καὶ κατὰ τοῦ Μωϋσέως συνίστασθαι, ὅτε καὶ τὸ παραδοξότατον περὶ τοῦ Μωϋσέως ἡ ἱστορία λέγει, διχῇ ταῖς ἐνεργείαις τεμνόμενον, τῇ μὲν φωνῇ καὶ τῷ λόγῳ παραθαρρύνειν τε τοὺς Ἰσραηλίτας καὶ τὰς ἀγαθὰς ἔχειν ἐλπίδας παρακελεύεσθαι, ἔνδοθεν δὲ τῇ διανοίᾳ τῷ θεῷ προσάγειν τὴν ὑπὲρ τῶν κατεπτηχότων ἱκετηρίαν καὶ ὅπως ἂν διαφύγοι τὸν κίνδυνον διὰ τῆς ἄνωθεν συμβουλῆς ὁδηγεῖσθαι

14 sqq Ex 14, 5

B (usque ad 22 λόγῳ) **ΚΛΟSH** 1 τοῦ: τὸ H 2 διαίρεσιν: διάκρισιν B v 3 συγχεομένων: συνεχομένων Λ 3-4 ἀσφαλείᾳ . . . ἡσυχίᾳ B 6 ἐπιζευγμένης B ἐπ' αὐτοῖς Λ 8 ἐπὶ τῇ H v 9-10 καὶ καθ' . . . καθηγεῖται om Λ 10 τῶν πάντων B 11 προπαρασκευάσας B v 12 τῆς χρήσεως Λ 12-13 ἀνακαινίσασθαι O (sed κομι supra καινι add O²) 14 ἡ om H 15 μή: μήτε S 16 συσκευάσαντος H σκευάσαντα K 17 ἵππων: ἱππικῶν KO τε om H 18 τῶν (alt) om BKOH 19 θαυμάτων KOH v 22 τεμνόμενον: διατεμνόμενον v τεμνόμενον ταῖς ἐνεργείαις Λ 24 ἔνθεν H 26 διαφύγῃ H v

αὐτοῦ τοῦ θεοῦ, καθώς φησιν ἡ ἱστορία, τῆς ἀλαλήτου φωνῆς ἐπαΐοντος. νεφέλης δὲ τοῦ λαοῦ θείᾳ δυνάμει καθηγουμένης οὐ κατὰ τὴν κοινὴν φύσιν οὐδὲ· γὰρ ἐξ ἀτμῶν τινων ἢ ἀναθυμιάσεων ἡ σύστασις αὐτῆς ἦν βαθυνομένου τοῖς ἀτμοῖς τοῦ ἀέρος διὰ τῆς ὁμιχλώδους συστάσεως καὶ πρὸς ἑαυτὸν συμπιλουμένου τοῖς πνεύμασιν, ἀλλὰ κρεῖττόν τι καὶ ὑψηλότερον τῆς ἀνθρωπίνης καταλήψεως ἐκείνης τῆς νεφέλης τῆς γραφῆς μαρτυρούσης τοιοῦτον τὸ θαῦμα ἦν ὡς καὶ τῆς ἡλιακῆς ἀκτῖνος θερμῶς ἐπιλαμπούσης διατείχισμα εἶναι πρὸς τὸν λαόν, σκιάζουσάν τε τὸ ὑποκείμενον καὶ λεπτῇ δρόσῳ τὸ φλογῶδες τοῦ ἀέρος ὑπονοτίζουσαν, καὶ διὰ τῆς νυκτὸς πῦρ γενέσθαι ἀφ' ἑσπέρας εἰς ὄρθρον τῷ ἰδίῳ φωτὶ τοῖς Ἰσραηλίταις δᾳδουχοῦσαν τὸ φέγγος.

Πρὸς ταύτην αὐτός τε βλέπων ὁ Μωϋσῆς καὶ τὸν λαὸν ἀκολουθεῖν τῷ φαινομένῳ διδάξας, ἐπειδὴ κατὰ τὸ Ἐρυθραῖον ἐγένοντο πέλαγος, ἐκεῖ τῆς νεφέλης πρὸς τὴν πορείαν καθοδηγουμένης πανστρατιᾷ τῶν Αἰγυπτίων τὸν λαὸν ἐκ τῶν κατόπιν κυκλωσαμένων οὐδεμίας αὐτοῖς οὐδαμόθεν τῶν δεινῶν φυγῆς περιούσης πολεμίων καὶ ὕδατος κατὰ τὸ μέσον ἀπειλημμένοις, τότε τὸ πάντων ἀπιστότατον θείᾳ δυνάμει παρορμηθεὶς ὁ Μωϋσῆς κατειργάσατο· προσεγγίσας γὰρ κατὰ τὴν ἠϊόνα πλήσσει τῇ ῥάβδῳ τὸ πέλαγος· τὸ δὲ περὶ
312 M. τὴν πληγὴν ὑπεσχίζετο. καὶ καθάπερ ἐπὶ τῆς ὑέλου γίνεσθαι πέφυκεν, εἰ κατά τι μέρος αὐτῆς ἀρχὴν ἡ ῥῆξις λάβοι, κατ' εὐθεῖαν πρὸς τὸ ἕτερον διεξέρχεται πέρας. οὕτω παντὸς τοῦ

ΚΛΟSH 1 ὑπ' αὐτοῦ Λ 2 φωνῆς: κραυγῆς v ἐπαΐοντος: εἰσακούοντος H 3 καθηγησαμένης KO 4 ἢ: καὶ KO βαθυνομένου: παχυνομένου Λ v 6 ἑαυτὸν: ἑαυτὴν v ἐπιλουμένου H τι: τε S 7-8 ἐκείνη τῇ νεφέλῃ v 10 εἶναι ΛS v: ἔχειν KOH εἶναι (ἔχειν KOH) post λαόν coll (KOH) v 12 γίνεσθαι v 17 καθοδηγουμένης KOH: καθοδηγούσης Λ καθηγουμένης S v 19 ὑπὸ πολεμίων S 20 τὸ om Λ (sed suprascr Λ²) 22 ἠόνα Λ τῷ ὕδατι ante πλήσσει add ΛS v ad ἠϊόνα ut vid in margine habet αἰγιαλόν K μὲν post πλήσσει add S περὶ: πρὸς Λ v 23 ὑάλου ΛH 23-24 πέφυκεν γίνεσθαι v 24 ῥῆξις litt perobsc H λάβῃ v 24-25 καθ' εὐθεῖαν om KOSH 25 πρὸς: ποι ut vid H

πελάγους ἐκείνου κατὰ τὸ ἄκρον ὑπορραγέντος τῇ ῥάβδῳ ἐπὶ τὴν ἀντικειμένην ὄχθην καὶ ἡ τῶν κυμάτων ῥῆξις ἐπέρασε. καὶ καταβὰς ἐπὶ τὸ βάθος ὁ Μωϋσῆς, καθὸ διετμήθη τὸ πέλαγος, σὺν παντὶ τῷ λαῷ βύθιος ἦν ἐν ἀβρόχῳ καὶ ἡλιουμένῳ τῷ σώματι. πεζῇ δὲ τὰς ἀβύσσους ἐν ξηρῷ πυθμένι τῆς θαλάσσης διεξερχόμενος οὐκ ἐδεδοίκει τὴν αὐτοσχέδιον ἐκείνην ἐκ κυμάτων τειχοποιΐαν ἔνθεν καὶ ἔνθεν τείχους δίκην παραπεπηγυίας αὐτοῖς ἐκ πλαγίων τῆς ἅλμης. τοῦ δὲ Φαραὼ μετὰ τῶν Αἰγυπτίων συνεισπεσόντος ἐπὶ τὸ πέλαγος κατὰ τὴν καινοτομηθεῖσαν ἐκείνην ὁδὸν ἐν τοῖς ὕδασι πάλιν συνάπτεται τὸ ὕδωρ τῷ ὕδατι καὶ ἀνακλυσθείσης πρὸς ἑαυτὴν τῆς θαλάσσης κατὰ τὸ πρότερον σχῆμα μία τοῦ ὕδατος ἐπιφάνειά τε καὶ ὄψις γίνεται, ἤδη τῶν Ἰσραηλιτῶν ἐπὶ τῆς πέραν ἠϊόνος τὸ πολύ τε καὶ σύντονον τῆς διὰ τοῦ πελάγους πορείας ἀναπαυόντων, ὅτε καὶ τὴν ἐπινίκιον ᾖσαν ᾠδὴν τῷ θεῷ τῷ τὸ ἀναίμακτον ὑπὲρ αὐτῶν ἐγείραντι τρόπαιον πάντων πανστρατιᾷ τῶν Αἰγυπτίων αὐτοῖς ἵπποις καὶ ὅπλοις καὶ ἅρμασιν ἀφανισθέντων ὑπὸ τοῦ ὕδατος. εἶτα πρόσεισιν ἐπὶ τὰ πρόσω ὁ Μωϋσῆς καὶ τριῶν ἡμερῶν ἄνυδρον διοδεύσας ὁδὸν ἐν ἀμηχανίᾳ γίνεται μὴ ἔχων ὅπως τοῦ στρατοῦ τὸ δίψος παραμυθήσεται. ἦν γάρ τις λίμνη περὶ ἣν ἐστρατοπέδευσαν θαλασσίου ὕδατος, μᾶλλον δὲ πικροτέρου ἢ κατὰ θάλασσαν. ἐπεὶ οὖν προσ-

7-8 Ex 14, 22; cf Philo De vita Moysis I, 177 22 sqq Ex 15, 22-25

ΚΛΟSH 1 ἀπορραγέντος H 2 κειμένην H 3 καθὸ ΛH: καθ'ὃ KOS v 4 σὺν . . . λαῷ om KOSH v ἀβρόχῳ ποδὶ S δὴ post ἀβρόχῳ add KO τε add v 5 καὶ πέζῃ H v δὲ om ΛH v τῷ πυθμένι H v 6 διερχόμενος O 7 τείχους: τοίχου Vat 444 8 παραπεπηγύας H 9 ἐπεισπεσόντος H 14 ἠόνος H ἰόνος O σύντομον H 16 ᾠδὴν ᾖσαν Λ post θεῷ H (inc f 96) habet ὡς οὐκ κτλ (ut p 23, 18ss), sed ff 135ᵛ-143ᵛ hanc partem praetermissam (τῷ τὸ . . . τὸν νόμον) absque indicio resumit τῷ τό: τῷ τότε H v 17 αὐτοῖς καὶ v 19 πρόσεισιν: πρόεισιν Λ²O v ἐπὶ τά: ἐπὶ τὸ S 21 τὸ δίψος: τὴν δίψαν KO παραμυθήσηται KSH v 22 ἐστρατοπέδευσε Λ 23 πικροτέρα (sc λίμνη) KOSH v

καθήμενοι τῷ ὕδατι τῇ δίψῃ τοῦ ὕδατος κατεφρύγοντο, θεόθεν αὐτῷ συμβουλῆς γεγενημένης ξύλον τι περὶ τὸν τόπον εὑρὼν ἐμβάλλει τῷ ὕδατι. τὸ δὲ παραχρῆμα πότιμον ἦν τοῦ ξύλου τῇ οἰκείᾳ δυνάμει τὴν τοῦ ὕδατος φύσιν εἰς ἡδονὴν ἐκ πικρίας μετακεράσαντος. τῆς δὲ νεφέλης μεταναστάσης ἐπὶ τὸ πρόσω κἀκεῖνοι τῇ κινήσει τοῦ ὁδηγοῦντος συμμετανίσταντο, ἀεὶ τοῦτο ποιοῦντες παυόμενοί τε τῆς πορείας ἐν ᾧπερ ἂν ἡ στάσις τῆς νεφέλης τὸ τῆς ἀναπαύσεως ἔδωκε σύνθημα καὶ ἀπαίροντες πάλιν οὗπερ ἂν ἡ νεφέλη τῆς πορείας αὐτῶν ἀφηγήσατο.

Καταλαμβάνουσι τοίνυν τῷ ὁδηγῷ τούτῳ ἑπόμενοι τόπον ὕδατι ποτίμῳ κατάρρυτον δυοκαίδεκα πηγαῖς ἀφθόνῳ περικλυζόμενον ὕδατι καὶ φοινίκων ἄλσει συσκιαζόμενον. ἑβδομήκοντα δὲ ἦσαν οἱ φοίνικες ἀρκοῦντες καὶ ἐν ὀλίγῳ τῷ ἀριθμῷ πολὺ ποιῆσαι τοῖς ὁρῶσι τὸ θαῦμα τῷ ὑπερέχειν κατὰ τὸ κάλλος τε καὶ μέγεθος. πάλιν κἀκεῖθεν ὁ ὁδηγὸς ἡ νεφέλη πρὸς ἕτερον ἄγει τόπον τὸν στρατὸν ἀναστήσασα. ἔρημος δέ τις οὗτος ἦν ἐν αὐχμηρᾷ καὶ διακεκαυμένῃ τῇ ψάμμῳ μηδεμιᾶς ὑδάτων ἰκμάδος ὑπονοτιζούσης τὸν χῶρον, ἐν ᾧ πάλιν τὸν λαὸν τοῦ δίψους καταπονέσαντος πέτρα τις ἐπὶ γεωλόφου ῥάβδῳ πληγεῖσα παρὰ τοῦ Μωϋσέως ὕδωρ ἐκδίδωσιν ἡδύ τε καὶ πότιμον καὶ τῆς χρείας τοῦ τοσούτου στρατοῦ δαψιλέστερον. ἔνθα δὴ καὶ τῆς παρασκευῆς τῶν τροφῶν ἐκλιπούσης, ἣν ἐξ Αἰγύπτου πρὸς τὴν ὁδοιπορίαν ἐπεσιτίσαντο, καὶ λιμῷ τοῦ λαοῦ πιεζομένου γίνεται τὸ

11 sqq Ex 15, 27; Philo De vita Moysis I, 188   25 sqq Ex 16, 14 sqq

ΚΛΟSH 1 τῷ δίψει v   κατεφρύγοντο: κατεφλέγοντο H v   6 ἐπὶ τὰ H v   ἐπὶ ante τῇ add H v   8 ἂν om S   11 τοίνυν Λ: δὴ KOH δὲ S v   12 δυοδεκαίδεκα v   ἀφθόνως H v ἀφθόνου S   13 περικλυζομένας Λ (sed corr Λ²)   ὕδατι . . . συσκιαζόμενον per hom om v   ὕδατι: ὕδατος S om H (et v)   15 τὸ θαῦμα τοῖς ὁρῶσι Λ   τῷ (post θαῦμα): τὸ H   ὑπερέχειν KOSH: ὑπεραίρειν Λ v   16 τὸ μέγεθος SH   ὁ ὁδηγὸς om Λ   18 διακεκαυμένῃ: διακεκαλυμμένῃ v   19 ἰκμάδος ὑδάτων Λ   20 καταπονήσαντος ΛH v   23 στρατοῦ om K (sed in margine add K²) λαοῦ H v   24 ἐκλιπούσης KS: ἐκλειπούσης forte itacismo ΛOH   ἐπιλιπούσης v   ὁδοιπορίαν: πορείαν KO   25 ἐπεσιτήσαντο Λ (sed corr Λ²)

πάντων ἀπιστότατον θαῦμα οὐκ ἐκ γῆς κατὰ τὸ νενομισμένον αὐτοῖς τῆς τροφῆς φυομένης ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ δροσοειδῶς καταρρεούσης. δρόσος γὰρ αὐτοῖς ἐπεχεῖτο κατὰ τὸν ὄρθρον, τροφὴ δὲ τοῖς ὑποδεχομένοις ἡ δρόσος ἐγίνετο. τὸ γὰρ ἐπιχεόμενον οὐ ῥανὶς ὑδατώδης ἦν καθὼς ἐστι σύνηθες ἐν δρόσῳ γίνεσθαι, ἀλλ' ἀντὶ σταγόνων θρόμβοι τινὲς κρυσταλλοειδεῖς τὸ εἶδος κατὰ τὸ σχῆμα τοῦ κορίου σπέρματος σφαιρωθέντες κατέρρεον, ὧν ἡ γεῦσις τὴν τοῦ μέλιτος ἡδονὴν ὑπεκρίνετο.

313 M. Τούτῳ δὲ τῷ θαύματι συνεθεωρεῖτο καὶ τὸ ἕτερον, τὸ πάντας ἐπὶ τὴν συλλογὴν ἐξιόντας ἐν διαφόροις, ὡς εἰκός, ἡλικίαις τε καὶ δυνάμεσι μήτε πλέον μήτε ἔλαττον ἕτερον ἑτέρου κατὰ τὴν τῆς δυνάμεως διαφορὰν συγκομίσασθαι ἀλλὰ μετρεῖσθαι τῇ ἑκάστου χρείᾳ τὸ συναγόμενον ὡς μήτε τὸν δυνατώτερον πλέον ἔχειν μήτε ἐλαττοῦσθαι τῆς ἰσομοιρίας τὸν ἀσθενέστερον. πάλιν ἐπὶ τούτῳ ἕτερον θαῦμα ἡ ἱστορία φησίν, ὅτι τὸ πρὸς ἡμέραν ἕκαστος κομιζόμενοι οὐδὲν εἰς τὴν ἐξῆς ἀπετίθεντο, τῷ δὲ φειδωλίᾳ τινὶ πρὸς τὴν ὑστεραίαν ἐκ τῆς παρούσης τροφῆς ταμιεύσαντι ἄχρηστον ἦν εἰς τροφὴν τὸ ἀπόθετον εἰς σκωλήκων φύσιν μεταποιούμενον.

Πρόσεστί τι καὶ ἄλλο τῇ περὶ τῆς τροφῆς ταύτης ἱστορίᾳ παράδοξον· τῶν γὰρ τῆς ἑβδομάδος ἡμερῶν τῆς μιᾶς κατά τινα λόγον μυστικὸν ἀπραξίᾳ τετιμημένης ἐν τῇ πρὸ αὐτῆς ἡμέρᾳ τῆς ἴσης ὡς πρὸς τὸν ἔμπροσθεν χρόνον γινομένης

ΚΛΟSH 1 γῆς: πληγῆς H 2 φυομένης: φαινομένης H v 3 δροσωειδῶς Λ (sed corr Λ^2) in margine σημείωσαι ὁποῖον ἦν τὸ μάννα ΚΟ 5-6 καθὼς σύνηθές ἐστι H v 7 κρυσταλοειδεῖς Λ τὸ εἶδος om S σχῆμα: εἶδος ΚΟΗ post σχῆμα add ὃ ἀγροικικῶς λέγεται κολίανδρον v ad κορίου in margine πίστος (= πίσος aut πιστός?) habet K 10 τὸ ante ἕτερον om Λ 11 τὴν om ΚΟΗ 12 ἔλαττον . . . πλέον ΚΟ μήτε πλέον om v 13 συγκομίζεσθαι (ex -ίσασθαι Λ corr) Λ^2 v 15 τὸ πλέον Λ v ἰσομορίας H 17 κομιζόμενος v 18 εἰς: ἐς Λ τὴν pr: τὸ K ἀπετίθεντο ΛSH: ἀπετίθοντο ΚΟ ἀπετίθετο (sc ἕκαστος) v φειδωλείᾳ H 19 ὑστεραίαν (-ρέαν O) om v 20 εἰς: πρὸς H v σκωλήλων Λ(sed corr Λ^2) κωλήκων K 21 τι om O τῇ: τῆς H περὶ: παρὰ v ἱστορίας H 23 μυστικὸν om ΚΟ ἐν om H

ἐπιρροῆς καὶ τῆς τῶν συλλεγόντων προθυμίας τὸ ἴσον ἐχούσης διπλάσιον ηὑρίσκετο τοῦ συνήθους μέτρου τὸ συναγόμενον, ὡς ἂν μηδεμίαν ἔχοιεν ἀφορμὴν τῇ τῆς τροφῆς ἀνάγκῃ παραλύειν τῆς ἀπραξίας τὸν νόμον. ἐν ᾧ δὴ καὶ πλέον ἡ θεία διεδείκνυτο δύναμις, ὅτι ταῖς ἄλλαις ἡμέραις ἀχρειουμένου τοῦ περισσεύοντος ἐν μόνῃ τῇ πρὸ τοῦ σαββάτου παρασκευῇ (τοῦτο γὰρ ὄνομα τῇ ἀπράκτῳ ἡμέρᾳ) τὸ ταμιευθὲν ἀδιάφθορον ἔμενεν ὡς κατ' οὐδὲν εἶναι τοῦ προσφάτου δοκεῖν ἑωλότερον.

Εἶτα πόλεμος αὐτοῖς συγκροτεῖται πρός τι ἔθνος ἀλλόφυλον. Ἀμαληκίτας δὲ τοὺς κατ' αὐτῶν τότε συστάντας ὀνομάζει ὁ λόγος. καὶ τότε πρῶτον εἰς παράταξιν τὸ Ἰσραηλιτικὸν ἐξοπλίζεται, οὐ πανστρατιᾷ πάντων συγκινηθέντων ἐπὶ τὴν μάχην ἀλλ' ἀριστίνδην ἐξειλεγμένων καὶ τῶν ἐν αὐτοῖς λογάδων ἀναδεξαμένων τὸν πόλεμον, ἐν ᾧ πάλιν καινὸν ἔδειξε στρατηγίας τρόπον ὁ Μωϋσῆς. τοῦ γὰρ Ἰησοῦ, ὃς μετὰ τὸν Μωϋσέα τοῦ λαοῦ καθηγήσατο, τότε τοῖς Ἀμαληκίταις τὸν στρατὸν ἀντεξάγοντος ἔξω τῶν ὅπλων ὁ Μωϋσῆς ἐπί τινος γεωλόφου σκοπιᾶς πρὸς τὸν οὐρανὸν ἀναβλέπει συνεστώτων ἑκατέρωθεν αὐτῷ δύο τῶν ἐπιτηδείων. τότε τοιοῦτον ἐν τοῖς γινομένοις θαῦμα παρὰ τῆς ἱστορίας ἀκούομεν· εἰ μὲν ἐπῆρε πρὸς οὐρανὸν τὰς χεῖρας ὁ Μωϋσῆς, ἐπερρώννυτο κατὰ τῶν ἐχθρῶν τὸ ὑπήκοον· εἰ δὲ καθῆκεν, ἐνεδίδου καὶ ὁ στρατὸς

10 sqq Ex 17, 8-16

ΚΛΟSH 1 τὸ ἴσον ἐχούσης ante τῆς coll S   2 εὑρίσκετο KOS v   5 διεδείκνυτο Λ: ἐδείκνυτο KOSH v   ὅτι: τι Λ (sed suprascr ὁ Λ²)   6 περισσεύματος KO   7 τοῦτο γὰρ: τοῦτο (vix τούτῳ) τὸ in ras scr Λ   post τῇ iterum τῇ Λ²   7-8 ἀδιάφορον Λ (sed corr Λ²)   8 ἔμεινεν Λ²S v ἔμηνεν Λ   9 ad ἑωλότερον in margine ut glossam χθεσινόν O χθεσινὸν ἄχρηστον μάταιον habet in margine K   11 κατ' αὐτῶν: κατὰ τῶν H   13 κινηθέντων S   14 ἀλλὰ Λ   ἀριστίδην Λ (corr Λ²) ἀριστεῖν δην O   in margine glossam κατ' ἐπιλογήν K   16 καιρὸν Λ (sed corr Λ²)   τρόπον: τόπον H   16-18 τοῦ γὰρ . . . ὁ Μωϋσῆς hom gratia om Λ   19 σκοπιᾶς γεωλόφου KOH v   πρὸς: ἐπὶ S   20 τῶν: τινῶν H   τότε: ὅτε in praevia continuatione v   21 ἐν: ἐπὶ H v   γενομένοις S   22 πρὸς: εἰς S

τῇ τῶν ἀλλοφύλων ὁρμῇ. ὃ δὴ συνέντες οἱ παρεστῶτες αὐτῷ βαρείας τε καὶ δυσκινήτους ἔκ τινος κεκρυμμένης αἰτίας τὰς τοῦ Μωϋσέως χεῖρας γεγενημένας ἑκατέρωθεν ὑποβάντες ὑπήρειδον. ἐπεὶ δὲ ἀσθενέστεροι ἦσαν ἢ ὥστε ἀνέχειν αὐτὸν ἐν ὀρθίῳ τῷ σχήματι, λίθῳ τὴν καθέδραν αὐτοῦ ὑπερείσαντες οὕτως εἰς οὔρανον ἐπαίρειν τὸν Μωϋσέα δι' ἑαυτῶν τὰς χεῖρας ἐποίησαν· οὗ γενομένου ἡττᾶται κατὰ κράτος ὑπὸ τῶν Ἰσραηλιτῶν τὸ ἀλλόφυλον.

Ἐπὶ δὲ τοῦ αὐτοῦ τόπου τῆς νεφέλης μενούσης ἣ καθηγεῖτο τοῦ λαοῦ τῆς πορείας ἀνάγκη πᾶσα ἦν μηδὲ τὸν λαὸν μετανίστασθαι μηδενὸς ὄντος τοῦ καθηγουμένου πρὸς τὴν μετανάστασιν. οὕτω δὲ αὐτοῖς ἀμογητὶ τῆς πρὸς τὸ ζῆν ἀφθονίας παρούσης ἄνωθεν μὲν τοῦ ἀέρος ἕτερον αὐτοῖς ὕοντος ἄρτον, κάτωθεν δὲ τὸ ποτὸν τῆς πέτρας παρεχούσης, τῆς δ' αὖ νεφέλης τὴν ὕπαιθρον ἀηδίαν θε- **316 M.** ραπευούσης, ὡς καὶ τοῦ θάλπους διατείχισμα γίνεσθαι τῇ ἡμέρᾳ καὶ τῇ νυκτὶ λύειν τὸν ζόφον ἐν αὐγῇ τινι πυροειδεῖ καταλάμπουσαν, ἄλυπος αὐτοῖς ἦν ἡ κατὰ τὴν ἔρημον ἐκείνην ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους διατριβὴ καθ' ἣν ἵδρυτο τὸ στρατόπεδον.

Ἐν τούτῳ δὲ καί τινος ἀπορρητοτέρας μυήσεως ὁ Μωϋσῆς καθηγεῖτο αὐτῆς τῆς θείας δυνάμεως διὰ τῶν ὑπὲρ λόγον θαυμάτων τόν τε λαὸν πάντα καὶ αὐτὸν τὸν καθηγεμόνα μυσταγωγούσης. ἡ δὲ μυσταγωγία τοῦτον ἐπετελεῖτο τὸν

21 sqq de Moyse mysteriorum sacerdote cf Philo De vita Moysis II, 71 sqq

ΚΛΟSH 1 συνιέντες ΚΟ 3 τᾶς χ. τοῦ Μωϋσέως H v 4 ὑπήρειδον: ἐπήρειδον K ἢ om ΚΟΗ αὐτὸν ἐν: αὐτῶν Λ (corr Λ^2) 5 αὐτοῦ: αὐτῷ S 7 κατὰ κράτος ἡττᾶται H v 12 μετάστασιν H v οὕτως v 13 ἀφθονίας: εὐπορίας v μὲν om ΚΟΗ ἕτερον: ἕτοιμον v om S 13-14 ἀέρος τὸν ἄρτον ὕοντος (om ἕτερον αὐτοῖς) S 14 δὲ om ΚΟΗ τῆς πέτρας τὸ ποτὸν ΚΟΗ v 15 δ'αὖ ΚΟΗ v: δὲ S τε Λ ὕπαιθρον Λ v: ὕπερθεν ΚΟSH 16 γενέσθαι H v 17 τὴν νύκτα ΚΟ 21 αὐτοῖς post τινος add Λ v τούτοις add H 22 αὐτῆς: αὐτοῖς H 23 αὐτὸν τὸν τὸν ditt causa O 24 ἐπιτελεῖτο O ἐπιτελεῖ K ἐπιτελεῖται H v

τρόπον· προείρητο τῷ λαῷ τῶν τε ἄλλων μολυσμάτων ἐκτὸς εἶναι πάντων, ὅσα περί τε σῶμα καὶ ψυχὴν καθορᾶται καὶ περιρραντηρίοις τισὶν ἀφαγνίσασθαι, καὶ αὐτοῦ δὲ τοῦ γάμου ἐν ῥητῷ τινι ἡμερῶν ἀριθμῷ καθαρεῦσαι, ὡς πάσης ἐμπαθοῦς τε καὶ σωματικῆς διαθέσεως ἐκπλυθέντα καθαρὸν πάθους προσβῆναι τῷ ὄρει μυηθησόμενον (Σινὰ δὲ ἦν τοῦ ὄρους τοὔνομα), ὃ μόνοις ἀνείθη τοῖς λογικοῖς εἰς ἐπίβασιν καὶ τοῖς παντὸς ἀφαγνισθεῖσι μιάσματος. φυλακὴ δὲ πᾶσα ἦν καὶ προμήθεια τοῦ μηδὲν τῶν ἀλόγων ἐπιβατεῦσαι τοῦ ὄρους· εἰ δέ που καὶ γένοιτο, καταλευσθῆναι παρὰ τοῦ λαοῦ πᾶν ὅτιπερ ἂν ἦν τῆς ἀλόγου φύσεως κατὰ τὸ ὄρος φαινόμενον.

Εἶτα τὸ ἐναέριον φῶς ἐκ καθαρᾶς αἰθρίας ζόφῳ κατεμελαίνετο ὡς ἀόρατον γενέσθαι τὸ ὄρος ἐν κύκλῳ τῷ γνόφῳ διειλημμένον, πῦρ τε ἐκ τοῦ γνόφου διαφαινόμενον φοβερὰν ἐποίει τοῖς ὁρῶσι τὴν ὄψιν, πανταχόθεν τὴν περιοχὴν τοῦ ὄρους ἐπιβοσκόμενον ὡς καὶ καπνῷ διὰ τῆς τοῦ πυρὸς περιδρομῆς ἅπαν τὸ φαινόμενον ὑποτύφεσθαι. ἡγεῖτο δὲ τοῦ λαοῦ ὁ Μωϋσῆς πρὸς τὴν ἄνοδον οὐδὲ αὐτὸς θαρρῶν τὸ ὁρώμενον ἀλλὰ κατεπτηχὼς τὴν ψυχὴν ὑπὸ δέους καὶ τὸ σῶμα τῷ φόβῳ κραδαινόμενος, ὡς μηδὲ πρὸς τοὺς Ἰσραηλίτας τὸ πάθος τῆς ψυχῆς ἐπικρύπτεσθαι ὁμολογεῖν τε πρὸς αὐτοὺς τὸ καταπεπλῆχθαι τοῖς φαινομένοις καὶ μὴ ἀτρεμεῖν τῷ σώματι. ἦν γὰρ οὐ τὸ φαινόμενον τοιοῦτο μόνον

ΚΛOSH 1 εἴρηται KO 2 τε: τὸ v 3 περιραντηρίοις O ἀφανίσασθαι Λ (sed corr Λ²) 6 καθαρόν τε H 6-7 Σινὰ . . . τοὔνομα om H quod ut glossam sum suspicatus 7 τὸ τοῦ ὄρους ὄνομα Λ ἀνείθη: ἀνέθη Λ νενομοθέτητο S post ἀνείθη add κατὰ τὸν καιρὸν ἐκεῖνον Λ v 8 post καὶ add τούτων τοῖς ἀνδράσι μόνοις καὶ τούτων πάλιν Λ v 11 ἂν ἦν: ἂν ᾖ S ἦν (om ἂν) Λ 13 ἐκ om KO 14 ἀοράτου ante corr K 15 τε: δὲ KO 17 περιβοσκόμενον S ὑποβοσκόμενον C 18 ὑποδρομῆς v πᾶν H ad ὑποτύφεσθαι in margine glossam ὑποκαίεσθαι KO 19 ὁ Μωσῆς τοῦ λαοῦ Λ οὔτε Λ θαρσῶν ΚΛOSH 20 κατεπτηκὼς v 21 συγκραδαινόμενος v ut glossam ad κραδαινόμενος in margine σειόμενος δονούμενος K et σιώμενος δωνούμενος praebet O 23 καταπεπλῆχθαι: κατεπτηχέναι S 24 ἐν post ἀτρεμεῖν add SH v φαινόμενον οὐ v τοιοῦτον ΛH v μόνον τοιοῦτον Λ

οἷον ἔκπληξιν τῇ ψυχῇ διὰ τῶν ὀφθαλμῶν ἐμποιῆσαι ἀλλὰ καὶ διὰ τῆς ἀκοῆς εἰσεχεῖτο τὰ φοβερά, φωνῆς ἄνωθεν καταπληκτικῶς ἐπιρρηγνυμένης ἐφ' ἅπαν τὸ ὑποκείμενον· ἧς χαλεπὴ μὲν καὶ ἡ πρώτη προσβολὴ καὶ ἀκοῇ πάσῃ δυσάντητος ἦν, ἐν ὁμοιώματι τῆς τῶν ἄλλων σαλπίγγων ἠχῆς γινομένη, παριοῦσα δὲ τῷ βαρεῖ καὶ καταπληκτικῷ τῆς φωνῆς ἅπαν τὸ τοιοῦτον ὑπόδειγμα, φοβερωτέρα δὲ προϊοῦσα ἐγίνετο, ἀεὶ διὰ προσθήκης τὸν ἦχον αὐτῆς ἐπιτείνουσα. ἡ δὲ φωνὴ αὕτη ἔναρθρος ἦν θείᾳ δυνάμει δίχα τῶν προφητικῶν ὀργάνων τοῦ ἀέρος διαρθροῦντος τὸν λόγον. ἦν δὲ ὁ λόγος οὐκ εἰκῇ διαρθρούμενος ἀλλ' ἐνομοθέτει θεῖα διατάγματα. καὶ ἡ μὲν φωνὴ προϊοῦσα δι' ἐπιδόσεως ηὔξετο καὶ ὑπερήχει ἑαυτὴν ἡ σάλπιγξ τὰς προλαβούσας φωνὰς ἀεὶ ταῖς ἐφεξῆς ὑπερβάλλουσα.

Ὁ δὲ λαὸς ἅπας ἥττων ἦν ἢ ὥστε ἀνέχεσθαι τὸ φαινόμενόν τε καὶ ἀκουόμενον. διὸ καὶ κοινὴ παρὰ πάντων αἴτησις προσάγεται τῷ Μωϋσεῖ δι' ἐκείνου μεσιτευθῆναι τὸν λόγον ὡς οὐκ ἀπιστήσοντος τοῦ λαοῦ θεῖον εἶναι παράγγελμα, πᾶν ὅτιπερ ἂν ᾖ παρ' ἐκείνου κατὰ τὴν ἄνωθεν διδασκαλίαν
317 M. παραγγελλόμενον. πάλιν οὖν πρὸς τὴν ὑπώρειαν πάντων καταδραμόντων μόνος ὑπελείφθη ὁ Μωϋσῆς, τὸ ἐναντίον ἢ ὅπερ εἰκὸς ἦν ἐφ' ἑαυτοῦ δείξας. τῶν γὰρ ἄλλων ἁπάντων ἐν τῇ κοινωνίᾳ τῶν μετεχόντων μᾶλλον θαρρούντων τὰ φοβερὰ οὗτος μονωθεὶς τῶν συμπαρεστώτων θαρραλεώτερος ἦν, ὡς

11 sqq de Moyse legislatore, Philo De vita Moysis II, 51-53

ΚΛΟSH 2 καὶ om H v εἰσεχεῖτο ΛS: εἰσηχεῖτο H v ἐν ἧς ἠχεῖτο KO 5 δυσάντητος: δυσέντευκτος v ὁμοιώματι Λ: ὁμοιότητι KOSH v ἄλλων om SH v 6 γενομένη H v βαρεῖ: φοβερῷ v τορῷ Q Vat 2090 7 ἅπαν τὸ Λ: ἅπαν ὑπερβαίνουσα KO ἅπαν SH v 8 ἐγένετο KO ἐγίγνετο v post ἀεὶ add πρὸς τὸ καταπληκτικώτερον v αὐτῆς: αὐτοῖς KΛ^{2}OS 8-9 ἐπιτείνουσα Λ v: ἐπαύξουσα KOSH 12 τὰ θεῖα v διατάγματα: διδάγματα v 15 ἀνέχεσθαί τε H 15-16 τῶν φαινομένων τε καὶ ἀκουομένων S 17 λόγον: νόμον v 18 ἀπιστήσαντος ante corr O 19 ὅπερ S 21 καταδραμούντων v 22 εἰκὸς: ἐκεῖνος v 23 συμμετεχόντων Λ v συμμετασχόντων C 24 συμπαρεστώτων SH: συμπαρόντων KΛO συνεστώτων v θαρσαλεώτερος KΛOS

ἐκ τούτου δῆλον γενέσθαι μὴ ἴδιον αὐτοῦ πάθος τὸν φόβον εἶναι, ᾧ κατ' ἀρχὰς συνεσχέθη, ἀλλὰ διὰ τοὺς κατεπτηχότας κατὰ συμπάθειαν ταῦτα παθεῖν.

Ἐπειδὴ τοίνυν οἷόν τινος ἄχθους τῆς δειλίας τοῦ λαοῦ γυμνωθεὶς ἐφ' ἑαυτοῦ ἦν, τότε καὶ αὐτοῦ κατατολμᾷ τοῦ γνόφου καὶ ἐντὸς τῶν ἀοράτων γίνεται μηκέτι τοῖς ὁρῶσι φαινόμενος. πρὸς γὰρ τὸ ἄδυτον τῆς θείας μυσταγωγίας παραδυεὶς ἐκεῖ τῷ ἀοράτῳ συνῆν μὴ ὁρώμενος, διδάσκων, οἶμαι, δι' ὧν ἐποίησεν, ὅτι δεῖ τὸν μέλλοντα συνεῖναι τῷ θεῷ ἐξελθεῖν πᾶν τὸ φαινόμενον καὶ ἐπὶ τὸ ἀόρατόν τε καὶ ἀκατάληπτον τὴν ἑαυτοῦ διάνοιαν, οἷον ἐπί τινα ὄρους κορυφήν, ἀνατείναντα ἐκεῖ πιστεύειν εἶναι τὸ θεῖον ἐφ' ὧν οὐκ ἐφικνεῖται ἡ κατανόησις. γενόμενος δὲ ἐν ἐκείνῳ δέχεται θεῖα προστάγματα. ταῦτα δὲ ἦν ἀρετῆς διδασκαλία, ἧς τὸ κεφάλαιον ἄρα ἐστὶν εὐσέβεια καὶ τὸ τὰς πρεπούσας ὑπολήψεις περὶ τῆς θείας φύσεως ἔχειν, ὡς ὑπέρκειται παντὸς γνωριστικοῦ νοήματός τε καὶ ὑποδείγματος οὐδενὶ τῶν γινωσκομένων ὁμοιουμένη. καὶ κελεύεται πρὸς μηδὲν τῶν καταλαμβανομένων ἐν ταῖς περὶ τὸ θεῖον ὑπολήψεσι βλέπειν μηδέ τινι τῶν ἐκ καταλήψεως γινωσκομένων ὁμοιοῦν τὴν τοῦ παντὸς ὑπερκειμένην φύσιν ἀλλὰ τὸ εἶναι πιστεύοντα, τὸ οἷον ἢ ὅσον ἢ ὅθεν ἢ ὅπως ἐστὶν ἀζήτητον ἐᾶν ὡς ἀνέφικτον.

Προστίθησι δὲ ὁ λόγος καὶ ὅσα τοῦ ἤθους ἐστὶ κατ-

13 sqq de Moyse philosopho, Philo De vita Moysis II, 65-6

ΚΛΟSH 1 τὸ post γενέσθαι add H v 2 συνεσχέθη: συνείχετο Λ τὴν πρὸς post διὰ add Λ v 3 κατὰ ante συμπάθειαν om Λ v 5 ἑαυτὸν ΚΟ 7 ἄδυτον: ἄρρητον v μυσταγωγίας: νομοθεσίας ΚΟ 7-8 πρὸς . . . ὁρώμενος per hom ut vid om Mon 538 sed in uncis retinet v 8 παραδὺς Λ 9 συνιέναι Λ 10 καὶ pr om Λ 12 ἀνατείνοντα HZ sed vix S ἐφ' ὧν Λ: ἐν ᾧ ΚΟSH v 14 τὰ θεῖα v 15 ἡ εὐσέβεια v 17 γνωριστικοῦ: γνωστικοῦ SH v τε om ΚΟ 18 ὁμοιώμ° H καὶ κελεύεται ΚSH: κελεύεται γὰρ Λ καὶ κελεύει Ο κελεύει γὰρ v 19 προσκαταλαμβανομένων ΚΟ τὸ θεῖον: τοῦ θεοῦ ΚΟ et (τοῦ sscr) H Θεοῦ v 20 καταλήψεων Λ ὁμοιοῦν γινωσκομένων Λ 21 πιστεύοντας SH v

ορθώματα γενικοῖς καὶ ἰδιάζουσι νόμοις τὴν διδασκαλίαν ποιούμενος. γενικὸς μὲν γὰρ πάσης ἀδικίας ἀναιρετικὸς νόμος ἐστὶ τὸ δεῖν ἀγαπητικῶς πρὸς τὸν ὁμόφυλον ἔχειν, οὗ κυρωθέντος πάντως κατὰ τὸ ἀκόλουθον ἕψεται τὸ μηδὲν κακὸν μηδένα κατὰ τοῦ πέλας ἐργάζεσθαι. ἐν δὲ τοῖς καθ' ἕκαστον ἥ τε περὶ τοὺς γεγεννηκότας τιμὴ διηγόρευται καὶ ὁ κατάλογος τῶν ἀπηγορευμένων πλημμελημάτων ἠρίθμηται. τούτοις δὲ τοῖς νόμοις οἱονεὶ προκαθαρθεὶς τὴν διάνοιαν ἐπὶ τὴν τελειοτέραν μυσταγωγίαν παράγεται σκηνῆς αὐτῷ τινὸς ἀθρόως ἐκ θείας δυνάμεως προδειχθείσης. ἡ δὲ σκηνὴ ναὸς ἦν ἐν δυσερμηνεύτῳ τινὶ ποικιλίᾳ τὸ κάλλος ἔχων· προπύλαια καὶ στῦλοι καὶ παραπετάσματα, τράπεζα καὶ λύχνοι καὶ θυμιατήριον, θυσιαστήριόν τε καὶ ἱλαστήριον καὶ τὸ ἔντος τῶν ἁγίων ἄδυτόν τε καὶ ἀνεπίβατον. ὧν ἁπάντων τὸ δὲ κάλλος καὶ τὴν διάθεσιν, ὡς ἂν μήτε διαφύγοι τὴν μνήμην καὶ τοῖς κάτω παραδειχθείη τὸ θαῦμα, οὐ γραφῇ παραδοῦναι ψιλῇ συμβουλεύεται ἀλλὰ μιμήσασθαι διὰ τῆς ὑλικῆς κατασκευῆς τὴν ἄϋλον ἐκείνην δημιουργίαν τὰς φανερωτέρας τε καὶ λαμπροτέρας ὕλας τῶν κατὰ τὴν γῆν εὑρισκομένων παραλαβόντα.

Ἐν οἷς πλείων μὲν ὁ χρυσὸς ἐν κύκλῳ περικεχυμένος τοῖς στύλοις, συμπαρελήφθη δὲ μετὰ τοῦ χρυσοῦ καὶ ἄργυρος, τὰς κορυφὰς καὶ τὰς βάσεις τῶν στύλων δι' ἑαυτοῦ καλλωπίζων ὡς ἄν, οἶμαι, τῷ διαλλάσσοντι τῆς χρόας ἑκατέρωθεν τὸ χρυσίον ἐνθεωρούμενον πλέον ἐκλάμποι. ἔστι δὲ ὅπου καὶ

7 sqq cf Philo De vita Moysis II, 74 sqq

ΚΛΟSH 1 τε ante καὶ add Λ 2 γενικῶς ut vid S (et Z) v καὶ ante πάσης add Λ 3 τῷ δεῖν S τὸ ὁμόφυλον SH 4 ἔπεται v 5 τοῖς: τῷ ΚΟ 9 τελειώτεραν v hic ut lemma περὶ τῆς σκηνῆς O et in margine K τινος om ΚΟSH 11 ἐφ' ὃν ante προπύλαια add ΚΟ 12 λύχνοι: λυχνία Λ v 13 θυσιαστήριον . . . ἱλαστήριον hom gratia om H τὸ ante ἔντος om ΚΟΗ 14 ὧν Λ v: ὃν ΚΟ ἦν S om H δὲ: τε Λ v 15 διαφυγῇ H 18 φανοτέρας Λ 18-19 λαμπροτέρας τε καὶ φανωτέρας v 21 οἷς: αἷς H πλείω H ἦν post μὲν add Λ v 22 ὁ ἄργυρος ΛS v 24 χροίας H 25 ἐκθεωρούμενον v καὶ ante ὅπου coll ΚΟ

ἡ τοῦ χαλκοῦ ὕλη χρήσιμος ἐνομίσθη, κεφαλὴ γινομένη καὶ βάσις τοῖς ἀργυροῖς τῶν κιόνων. καταπετάσματα δὲ καὶ παραπετάσματα καὶ ὁ τοῦ ναοῦ περίβολος καὶ ὁ τῶν στύλων **320 M.** περιτεινόμενος ὄροφος καταλλήλως πάντα διὰ τῆς ὑφαντικῆς ἐπιστήμης ἐκ τῆς προσφόρου ἕκαστον ὕλης ἐπετελεῖτο. τοῖς μὲν γὰρ ἦν τῶν ὑφασμάτων ὑάκινθος ἡ βαφὴ καὶ πορφύρα καὶ τὸ πυραυγὲς τοῦ κοκκοβαφοῦς ἐρυθήματος, τό τε λαμπρὸν τῆς βύσσου ἡ αὐτοφυής τε καὶ ἀνεπιτήδευτος ἰδέα. ἑτέροις δὲ λῖνον καὶ ἄλλοις τρίχες πρὸς τὰς τῶν ὑφασμάτων χρείας παρελαμβάνοντο. ἦν δὲ ὅπου καὶ τὰ ἐρυθρὰ τῶν δερμάτων πρὸς τὴν τοῦ κατασκευάσματος ὥραν εὔθετα ἦν. καὶ ταῦτα μὲν μετὰ τὴν ἐκ τοῦ ὄρους κάθοδον κατὰ τὸ ἐκτεθὲν αὐτῷ τῆς δημιουργίας ὑπόδειγμα ὁ Μωϋσῆς διὰ τῶν ὑπουργούντων κατεσκευάσατο. τότε δὲ ἐν ἐκείνῳ τῷ ἀχειροποιήτῳ ναῷ γενόμενος καὶ οἵῳ χρὴ τὸν ἱερέα κόσμῳ λαμπρύνεσθαι τῶν ἀδύτων ἐπιβατεύοντα νομοθετεῖται τῆς τε ἔνδονθεν περιβολῆς καὶ τῆς φαινομένης τὰ καθ' ἕκαστον τοῦ λόγου θεσμοθετήσαντος. ἀρχὴ δὲ τῆς τῶν ἐσθημάτων περιβολῆς οὐ τὸ κρύφιον ἀλλὰ τὸ φαινόμενον γίνεται· ἐπωμίδες ἐκ διαφόρου πεποικιλμέναι βαφῆς, δι' ὧν τὸ καταπέτασμα τὴν κατασκευὴν εἶχε, χρυσῷ νήματι τὸ πλέον ἔχουσαι, πόρπαι καθ' ἑκάτερον μέρος, αἱ τὰς ἐπωμίδας συνέχουσαι, σμαράγδους ἐν κύκλῳ διὰ χρυσοῦ περισφίγγουσαι. κόσμος δὲ τοῖς λίθοις ἐκ μὲν φύσεως ἦν αὐγὴ χλοεράς τινας ἀκτῖνας ἀφ' ἑαυτῆς ἀποστίλβουσα, ἐκ δὲ τῆς τέχνης τὸ ἐκ τῶν γλυφίδων θαῦμα, οὐ πρὸς εἰδώλων τινῶν χαρακτῆρα

20 sqq cf tamen Ex 28, 6 sqq

ΚΛΟSH 1 γενομένη S 2 ἀργυρέοις S δὲ : τε ΚΟ 4 περιτεινόμενος : ὑπερτεινόμενος ΛS v 9 τρίχαις ΚΟ 10 παρελαμβάνετο ΚΟ 12 ἐκ om Λ 15 οἵῳ : ᾧ H 17 τε : δὲ ΚΟ τὰ : τὸ ΚΟ 18 θεσμοθετήσαντος : νομοθετήσαντες Λ v 20 διαφόρων ΚΟ ut lemma περὶ τῆς στολῆς Ο et in margine Κ τὸ : τε τὸ Λ τό τε v 21 καὶ post εἶχε add v χρυσῷ : χρυσέῳ coni Daniélou 22 ἔχουσα ΚΟΗ in margine ad πόρπαι praebent περόνη τῆς χλανίδος ἢ φίβλα (φήβλα Ο) ΚΟ 23 σμαράγδου ΚΟΗ 24 ἦν om ΚΟΗ 25 ἀφ' ΛΗS : ἐφ' ΚΟ v περιστίλβουσα C 26 οὐ Λ et forte post corr Ο : οὔτι γε SH v αὕτη γε Κ et ante corr Ο

τῆς τέχνης τὴν γλυφὴν ἐντεμούσης ἀλλά, τὰ ὀνόματα τῶν πατριαρχῶν ἓξ καθ' ἑκάτερον τοῖς λίθοις ἐγκεχαραγμένα κόσμος ἐγίνετο· τά τε ἀπηρτημένα τούτων ἀσπίδια κατὰ τὸ ἔμπροσθεν μέρος, αἵ τε διάπλοκοι σειραὶ δι' ἀλλήλων ἐναλλὰξ κατά τινα ῥυθμὸν δικτυοειδῶς πεπλεγμέναι καὶ ἀπὸ τῆς πόρπης καθ' ἑκάτερον μέρος ἄνωθεν καθιέμεναι τῶν ἀσπίδων ὡς ἄν, οἶμαι, πλέον ἡ τῆς πλοκῆς ὥρα διαλάμποι τῷ ὑποκειμένῳ λαμπρυνομένη. ὅ τε χρυσότευκτος κόσμος ἐκεῖνος ὁ τοῦ στήθους προβεβλημένος, ἐν ᾧ λίθοι τινὲς ἐκ διαφόρων γενῶν τοῖς πατριάρχαις ἰσάριθμοι, τετραχῇ τῶν στίχων διακειμένων, τρεῖς καθ' ἕκαστον ἦσαν ἐγκεκροτημένοι τοὺς ἐπωνύμους τῶν φυλῶν ἐφ' ἑαυτῶν δεικνύντες τοῖς γράμμασιν. ὅ τε ὑποδύτης ἔνδον τῶν ἐπωμίδων ἐξ αὐχένος εἰς ἄκρους πόδας διήκων τοῖς τῶν κοσύμβων ἀπαρτήμασιν εὐπρεπῶς κεκοσμημένος. τό τε κάτω κράσπεδον οὐ μόνον ἐκ τῆς ὑφαντικῆς ποικιλίας εἰς κάλλος ἐξησκημένον ἀλλὰ καὶ διὰ τῶν ἐκ χρυσίου ἀπαρτημάτων. ταῦτα δὲ ἦν κώδωνες χρυσοῖ καὶ ῥοΐσκοι ἐκ παραλλήλου τὸ κάτω κράσπεδον ἀπειληφότες. ἡ δ' αὖ τῆς κεφαλῆς ταινία ὑακινθίνη πᾶσα καὶ τὸ προμετωπίδιον πέταλον ἐξ ἀκηράτου χρυσίου ἀρρήτῳ τινὶ χαρακτῆρι κεχαραγμένον. καὶ ζώνη ἡ τὸ κεχυμένον τῆς περιβολῆς περιστέλλουσα καὶ ὁ τῶν κρυφίων κόσμος, καὶ πάντα ὅσα δι' αἰνιγμάτων ἐν εἴδει περιβολῆς περὶ ἱερατικῆς ἀρετῆς ἐκπαιδεύεται. ἐπεὶ δὲ ταῦτα καὶ τὰ τοιαῦτα τῷ ἀοράτῳ ἐκείνῳ περισχεθεὶς γνόφῳ ἐν τῇ ἀπορρήτῳ τοῦ θεοῦ διδασκαλίᾳ ἐξεπαιδεύθη μείζων ἑαυτοῦ

ΚΛΟSH 1 ἐκτεμούσης H 2 ἑκάτερον: ἕκαστον H v τοῖς: ταῖς O 3 ἐγένετο H 5 περιπεπλεγμέναι H 6 πόρτης HΛ (sed corr Λ^2) καθημέναι ut vid Λ 7 ἡ om Λ 8 λαμπρυνόμενος Z et forte S 9 ἐκεῖνος κόσμος KOSH v 14 ἄκρος ante corr K ad κοσύμβων in margine ἀνάδεσμος χρυσὸς (?) χιτῶνος praebent KO post κοσύμβων add τοῖς τῶν λεθύμβων H 15 ἀπηρτήμασι H v 17 χρυσίου Λ: χρυσοῦ KOSH v 18 χρύσεοι ΛSH v 19 διειληφότες Λ ὑπειληφότες S ἡ δ': ἥ τε ΛSH v ταίνια τῆς κεφαλῆς H κεφαλῇ ut vid Λ 20 τὸ om H προμετώπιον Λ μετωπίδιον KO 22 περικεχυμένον H ὁ om H 24 ἀρετῆς om H ταῦτα καὶ om v 25 περισχεθεὶς ΛSH v: περιχυθεὶς KO

δι' αὐτοῦ καταστὰς τῇ προσθήκῃ τῶν μυστικῶν μαθημάτων, οὕτως ἐκ τοῦ γνόφου πάλιν ἀναδυεὶς πρὸς τὸ ὁμόφυλον κάτ-
321 M. εισι κοινωνήσων αὐτοῖς τῶν ἐν τῇ θεοφανείᾳ παραδειχθέντων αὐτῷ θαυμάτων καὶ τοὺς νόμους παραθησόμενος καὶ τὸν ναὸν καὶ τὴν ἱερωσύνην κατὰ τὸ προδειχθὲν αὐτῷ ἐπὶ τοῦ ὄρους ὑπόδειγμα τῷ λαῷ καταστήσων. ἔφερε δὲ καὶ τὰς ἱερὰς πλάκας διὰ χειρός, αἳ θεῖον εὕρεμα καὶ δῶρον ἦσαν οὐδεμίας ἀνθρωπίνης ἐνεργείας εἰς τὸ γενέσθαι προσδεηθεῖσαι· ἀλλ' ἔργον θεοῦ ἐπίσης ἑκάτερα ἦν, ἥ τε ὕλη καὶ τὰ ἐπὶ ταύτῃ χαράγματα· νόμος δὲ ἦν τὰ χαράγματα. ἀλλ' ἐκώλυσε τὴν χάριν ὁ λαὸς πρὶν ἐπιστῆναι τὸν νομοθέτην εἰς εἰδωλολατρείαν ἀφηνιάσας.

Ἐπειδὴ γὰρ χρόνος τις οὐ βραχὺς τῷ Μωϋσεῖ διεγένετο τῇ πρὸς θεὸν ὁμιλίᾳ διὰ τῆς θείας ἐκείνης μυσταγωγίας ἀποσχολάζοντι καὶ ἦν ἐν τεσσαράκοντα ἡμέραις καὶ τοσαύταις νυξὶ τῆς ἀϊδίου ἐκείνης ζωῆς ὑπὸ τὸν γνόφον μετέχων καὶ αὐτῆς σχεδὸν τῆς φύσεως ἔξω γενόμενος (οὐ γὰρ ἐπεδεήθη κατὰ τὸν χρόνον ἐκεῖνον εἰς τὸ σῶμα τροφῆς), τότε οἷόν τι μειράκιον ὁ λαὸς τῶν τοῦ παιδαγωγοῦντος ὄψεων ἔξω γενόμενος ἀνοήτοις ὁρμαῖς εἰς ἀταξίαν ἐκφέρεται καὶ συστὰς ἐπὶ τὸν Ἀαρὼν ἀνάγκην ἐπάγει τῷ ἱερεῖ τῆς εἰδωλολατρείας αὐτοῖς καθηγήσασθαι. καὶ γεγονότος τοῦ εἰδώλου ἐκ χρυσίου τῆς ὕλης (μόσχος δὲ τὸ εἴδωλον ἦν) οἱ μὲν ἐπηγάλλοντο τῷ ἀσεβήματι, ὁ δὲ Μωϋσῆς κατ' αὐτοὺς ἤδη γενό-

20 sqq Ex 32, 1 sqq

ΚΛΟSH 1 δι' αὐτοῦ: ἑαυτοῦ KOSH v καταστὰς: κατέστη KO 2 ἀναδύς v ὁμόφυλον: ὁμόδουλον H 5 προσδειχθὲν Λ (sed corr Λ²) ἐπὶ: ὑπὸ Λ (sed corr Λ²) 7 εὕρημα SH v 8 ἀνθρωπίνης om v ἐνεργείας: συνεργίας Λ v 8-9 προσδεηθεῖσαι KOS: προσδεηθῆσαι (vel -θεῖσαι) Λ² προσδεηθείς H προσδεηθής Λ προδεηθεῖσαι v 10 ἐπ' αὐτῇ KOSH νόμος . . . χαράγματα per hom ut vid om KOH v 13 χρόνος τῷ M. τις οὐ β. KOSH v ἐγένετο H 14 τὸν θεὸν ΚΛΟ διὰ om H 14-15 διὰ . . . ἀποσχολάζοντι om et forsan recte quidem Λ ἀποσχολάζοντι KOSH: ἀπασχολάζοντι v 15 ἐν ταῖς H 16 ἀϊδίου: ἀειδοῦς Λ 17 σχεδὸν om KOSH v 20 ἀνοήτοις: ἀνέτοις ΛS

μενος συντρίβει τὰς πλάκας ἃς θεόθεν ἐκόμιζεν ὡς ἂν τοῦ πλημμελήματος ἀξίαν τὴν τιμωρίαν ὑπόσχοιεν τῆς θεοσδότου χάριτος ἀμοιρήσαντες. εἶτα τῷ ἐμφυλίῳ αἵματι διὰ τῶν Λευϊτῶν καθαρίσας τὸ ἄγος καὶ τῷ ἰδίῳ θυμῷ τῷ κατὰ τῶν πεπλημμεληκότων τὸ θεῖον ἱλεωσάμενος τό τε εἴδωλον ἐξαφανίσας, οὕτω πάλιν τεσσαράκοντα ἡμερῶν προσεδρείᾳ τὰς πλάκας κομίζεται, ὧν ἡ γραφὴ μὲν ἐκ θείας δυνάμεως ἦν, ἡ δὲ ὕλη διὰ τῆς Μωϋσέως ἐξησκήθη χειρός. ταύτας κομίζεται πάλιν ἐκβὰς τὴν φύσιν ἐν τῷ τοσούτῳ τῶν ἡμερῶν ἀριθμῷ, ἄλλον τινὰ τρόπον καὶ οὐ κατὰ τὸν νενομισμένον ἡμῖν βιοτεύων, οὐδὲν τῶν ὑποστηριζόντων διὰ τροφῆς τὸ τῆς φύσεως ἡμῶν ἐνδεὲς τῷ ἰδίῳ σώματι προσδεξάμενος.

Καὶ οὕτως αὐτοῖς τήν τε σκηνὴν ἐπήξατο καὶ τὰ νόμιμα παρατίθεται τὴν ἱερωσύνην κατὰ τὴν θεόθεν γενομένην αὐτῷ διδασκαλίαν καταστησάμενος. καὶ ἐπειδὴ πάντα κατὰ τὴν θείαν ὑφήγησιν διὰ τῆς ὑλικῆς δημιουργίας κατεσκευάσατο, τὴν σκηνήν, τὰ προπύλαια, τὰ ἐντὸς πάντα, θυμιατήρια, θυσιαστήρια, λυχνίαν, παραπετάσματα, κατασκεπάσματα, τὸ τῶν ἀδύτων ἐντὸς ἱλαστήριον, τὸν τῆς ἱερωσύνης κόσμον, τὸ μύρον, τὰς διαφόρους ἱερουργίας, τὰ καθάρσια, τὰ χαριστήρια, τὰ τῶν κακῶν ἀποτρόπαια, τὰ ἐν τοῖς πλημμεληθεῖσιν ἱλεωτήρια, πάντα κατὰ τὸν δέοντα τρόπον ἐν αὐτοῖς διατάξας, ἐκίνησεν ἐπὶ τοῖς ἐπιτηδείοις καθ' ἑαυτοῦ τὸν φθόνον, τὸ συγγενὲς τῇ φύσει τῶν ἀνθρώπων ἀρρώστημα, ὡς καὶ τὸν Ἀαρὼν ταῖς τιμαῖς τῆς ἱερωσύνης τιμώμενον καὶ τὴν ἀδελφὴν αὐτοῦ Μαριὰμ ζηλοτυπίᾳ τινὶ γυναικωδεστέρᾳ

26 sqq Num 12, 1 sqq

ΚΛΟSH 2 ἀξίαν τὴν τ. SH v: τὴν τ. ἀξίαν Λ τιμωρίαν ἀξίαν (om τὴν) KO 3 θεοσδότου ΛO: θεοδότου KHS θεοδόχου v 6 τότε ... ἐξαφανίσας om KOSH ἐν post πάλιν add v 7 προσεδρίᾳ KOH 8 ἐξήσκητο S 9 τῷ om H 11 τῆς τροφῆς v 14 τήν τε KO 14 θεόθεν post αὐτῷ coll ΚΛΟS v 15 πάντα τὰ H 17 τὰ θυμιατήρια O v θυμιατήριον coni Daniélou 17-18 θυσιαστήρια θυμιατήρια coll S 18 θυσιαστήριον v κατασκεπάσματα Λ: om KOSH v 20 μύρον: μυστήριον S 20-21 χριστήρια S 21 πλημμελήμασιν S 22 ἐν om KO 23 ἐπὶ: ἐν v τὸν φθόνον καθ' ἑαυτοῦ KOSH v 26 Μαρίαν H

πρὸς τὴν γενομένην αὐτῷ θεόθεν τιμὴν ὑποκινηθεῖσαν, φθέγξασθαί τι τοιοῦτον, ἐφ' ᾧ παρεκινήθη τὸ θεῖον εἰς τὴν τοῦ πλημμελήματος κόλασιν. ἔνθα δὴ καὶ πλέον τι θαυμάζειν ἄξιον τῆς ἀνεξικακίας τὸν Μωϋσέα, ὅτι τοῦ θεοῦ τὴν ἄλογον βασκανίαν τοῦ γυναίου κολάζοντος ἰσχυροτέραν τὴν φύσιν τῆς ὀργῆς ποιησάμενος τὸν θεὸν ὑπὲρ τῆς ἀδελφῆς ἱλεώσατο. τοῦ δὲ πλήθους πάλιν εἰς ἀταξίαν προτραπέντος (ἡγεῖτο δὲ τῆς πλημμελείας ἡ τῶν κατὰ γαστέρα ἡδονῶν ἀμετρία, οἷς οὐκ ἤρκει τὸ ζῆν ὑγιεινῶς τε καὶ ἀλύπως ἐκ τῆς ἄνωθεν ἐπιρρεούσης τροφῆς, ἀλλ' ἡ τῶν σαρκῶν ἐπιθυμία καὶ ὁ τῆς κρεωβορίας πόθος προτιμοτέραν ἐποίει τῶν παρόντων αὐτοῖς ἀγαθῶν τὴν παρ' Αἰγυπτίοις ἀεὶ δουλείαν), ὁ μὲν
324 M. κοινοῦται τῷ θεῷ περὶ τοῦ κατασκήψαντος ἐν αὐτοῖς πάθους, ὁ δὲ παιδεύει τὸ μὴ δεῖν οὕτως ἔχειν διὰ τοῦ δοῦναι τυχεῖν ὧν ἐφίεντο, ὀρνέων τι πλῆθος, πρόσγειον ποιουμένων τὴν πτῆσιν, ἐφιεὶς τῷ στρατοπέδῳ αἰφνηδὸν καὶ κατ' ἀγέλας ἐφίπτασθαι, ἐφ' ὧν ἡ εὐκολία τῆς ἄγρας εἰς κόρον τὴν τῶν κρεῶν ἐπιθυμίαν προήγαγεν. ἡ δὲ ἀμετρία τῆς βρώσεως ἀθρόως αὐτοῖς τὰς τῶν σωμάτων κράσεις εἰς φθοροποιοὺς χυμοὺς μετεσκεύασε καὶ ἡ πλησμονὴ αὐτοῖς εἰς νόσον καὶ θάνατον ἔληξεν, ὧν τὸ ὑπόδειγμα αὐτοῖς τε ἐκείνοις καὶ τοῖς πρὸς ἐκείνους ὁρῶσιν ἱκανὸν εἰς σωφροσύνην ἐγένετο.

Εἶτα κατάσκοποι παρ' αὐτοῦ πέμπονται τῆς χώρας ἐκείνης, ἣ κατὰ θείαν αὐτοῖς ἐπαγγελίαν ἐν ἐλπίσιν ἦν τῆς οἰκήσεως. τούτων δὲ μὴ πάντων τἀληθῆ καταγγειλάντων, ἀλλά τινων τὰ ψευδῆ τε καὶ σκυθρωπὰ μηνυσάντων, πάλιν ὁ

23 sqq Num 13, 1 sqq

ΚΛΟSΗ 3 τι om H 6 ὁ Μωϋσῆς ante ποιησάμενος add H 7 ἀταξίαν: ἀδοξίαν KO προτραπέντος KO: τραπέντος ΛSH v 8 τῆς γαστρὸς H 9 ἠρκεῖτο Λ 11 κρεοβορίας KO 11-12 αὐτοῖς ante ἐποίει coll KO 12 αὐτοῖς ἀγαθῶν om H ἀεὶ om KOSH v 14 ἔχειν om OS διὰ τοῦ: διὰ τὸ H 15 ἠφίετο KO ἠφίεντο H προσγείων Λ ποιούμενος ut vid Λ (corr Λ²) 16 ἐφεὶς H v αἰφνηδὸν Λ: νεφηδὸν KOSH v 17 τῶν om v 21 ἔληξεν: ἔμιξεν H 22 ἱκανὸν: κανὼν H εἰς: πρὸς v ἐγίγνετο H 23 πέπονται O 26 τε om v τὰ post καὶ add H

λαὸς δι' ὀργῆς ἐποιεῖτο τὸν Μωϋσέα. ὁ δὲ θεὸς τοὺς ἀπελπίσαντας τὴν θείαν συμμαχίαν τὸ μὴ ἰδεῖν τὴν ἐπηγγελμένην αὐτοῖς χώραν καταδικάζει. προϊόντων δὲ διὰ τῆς ἐρήμου πάλιν αὐτοῖς ἐπιλείποντος τοῦ ὕδατος καὶ ἡ μνήμη τῆς δυνάμεως τοῦ θεοῦ συνεπέλειψεν. οὐ γὰρ τῷ προλαβόντι περὶ τὴν πέτραν θαύματι τὸ μηδὲ νῦν αὐτοῖς ἐνδεῆσαι τὴν χρείαν ἐπίστευσαν, ἀλλ' ἀποστάντες τῶν χρηστοτέρων ἐλπίδων κατ' αὐτοῦ τοῦ θεοῦ καὶ τοῦ Μωϋσέως ταῖς λοιδορίαις ἐχώρουν, ὡς καὶ τὸν Μωϋσέα δόξαι τῇ ἀπιστίᾳ τοῦ λαοῦ συνοκλάσαι, πλὴν πάλιν αὐτοῖς θαυματοποιῆσαι τὴν ἀκρότομον ἐκείνην πέτραν εἰς ὑδάτων φύσιν μεταβαλόντα. ὡς δὲ πάλιν αὐτοῖς ἡ ἀνδραποδώδης τῶν ἐδωδίμων ἡδονὴ τὴν ἐπιθυμίαν τῆς γαστριμαργίας ἐπήγειρε (καίτοι τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων οὐδενὸς ὑστερούμενοι τὸν Αἰγύπτιον κόρον ὠνειροπόλουν), οἱ ἀτακτοῦντες τῶν νέων σφοδροτέραις παιδαγωγοῦνται ταῖς μάστιξιν, ὄφεων αὐτοῖς κατὰ τὴν παρεμβολὴν θανατηφόρον ἰὸν ἐμβαλλόντων διὰ τοῦ δήγματος. ἐπαλλήλου δὲ γενομένης ἐκ τῶν θηρίων τῆς πτώσεως θείᾳ συμβουλῇ παρορμηθεὶς ὁ νομοθέτης χαλκὸν ἐν ὁμοιώματι ὄφεως χέας, ὑπερφαίνεσθαι τοῦ στρατοπέδου παντὸς ἐπί τινος ὕψους ἐποίησε. καὶ οὕτως ἔστησεν ἐν τῷ λαῷ τὴν ἐκ τῶν θηρίων βλαβὴν καὶ τῆς φθορᾶς ἀπήλλαξεν. ὁ γὰρ πρὸς τὴν εἰκόνα τοῦ ὄφεως τὴν ἐν τῷ χαλκῷ βλέπων

4 sqq Num 20, 1 sqq; cf Ex 17, 6 16 sqq Num 21, 9

ΚΛΟSH 1 ἐποιήσατο S 2 τὸ: τοῦ H τῷ S 3 χώραν αὐτοῖς H καταδικάζειν Λ (corr Λ²) 4 αὐτοῖς: αὐτοὺς KO ἐπιλιπόντος S v 5 τοῦ θεοῦ δυνάμεως v συνεπέλιπεν H 6 περὶ: παρὰ v τὴν pr om KO τινὰ post πέτραν add KO 8 κατὰ τοῦ θεοῦ H αὐτοῦ om H ταῖς λοιδορίαις om KO 10 ἀκρότομον: ἄτομον H ἀπότομον Vat 444 11 μεταβάλλοντα Λ (corr Λ²) H πάλιν: πάντων H 13 ἐπεγείρει H ἐκίνησεν C καί τοι KOS καὶ H v πρὸς τὴν ζωὴν om KOS forte recte 13-14 καίτοι . . . οὐδενὸς om Λ 15 οἱ ἀτακτοῦντες: κατὰ τοὺς ἀτακτοῦντας H v 17 ἐμβαλόντων KO 18 γινομένης v 19 ut lemma hic ὡς ὕψωσεν Μωϋσῆς τὸν χαλκοῦν ὄφιν O in margine autem K 21 ἐκ: ἀπὸ S 22 βλαβὴν: φθορὰν KOSH v καὶ . . . ἀπήλλαξεν om KOSH v αὐτὸν post φθορᾶς addi voluit Daniélou

οὐδὲν ἐδεδοίκει τοῦ ὄντως ὄφεως τὸ δῆγμα ἐξ ἀντιπαθείας τινὸς ἀπορρήτου τῆς ὄψεως τὸν ἰὸν ἀμβλυνούσης.

Πάλιν αὐτῷ περὶ τῆς ἡγεμονίας ἐπαναστάσεως ἐκ τοῦ λαοῦ γεγενημένης καί τινων τὴν ἱερωσύνην εἰς ἑαυτοὺς μεταστῆσαι βιαζομένων, ὁ μὲν ἱκέτης τοῦ θεοῦ ὑπὲρ τῶν ἐξαμαρτανόντων ἐγίνετο, τὸ δὲ δίκαιον τῆς τοῦ θεοῦ κρίσεως τῆς τοῦ Μωϋσέως πρὸς τὸ ὁμόφυλον συμπαθείας ἰσχυρότερον ἦν. χάσματι γὰρ ἡ γῆ διασχοῦσα θείῳ θελήματι πάλιν πρὸς ἑαυτὴν συμπίπτει ἔνδον ὑπολαβοῦσα παγγενῆ πάντας τοὺς τῇ ἀρχῇ τοῦ Μωϋσέως ἑαυτοὺς ἀντεπάραντας. οἱ δὲ περὶ τὴν ἱερωσύνην λυσσήσαντες πυρὶ καταφλεχθέντες περὶ διακοσίους τε καὶ πεντήκοντα τῷ καθ' ἑαυτοὺς πάθει σωφρονίζουσι τὸ ὁμόφυλον. ὡς δ' ἂν μᾶλλον πεισθεῖεν οἱ ἄνθρωποι θεόθεν παραγίνεσθαι τῆς ἱερωσύνης τὴν χάριν τοῖς ἀξιουμένοις, ῥάβδους δὴ ἐξ ἑκάστης φυλῆς παρὰ τῶν ἐξεχόντων κομίζεται, γράμμασιν ἰδίοις ἑκάστην κατασημηναμένου τοῦ δεδωκότος, ἐν αἷς ἦν καὶ ἡ Ἀαρὼν τοῦ ἱερέως. ταύτας δὲ προσθεὶς τῷ ναῷ διὰ τούτων φανεροῖ τῷ λαῷ τὴν περὶ τῆς ἱερωσύνης τοῦ θεοῦ ψῆφον. μόνη γὰρ ἐκ πασῶν ἡ τοῦ Ἀαρὼν ῥάβδος ἐβλάστησε καὶ τὸν ἐκ τοῦ ξύλου καρπὸν (κάρυον δὲ ἦν ὁ καρπὸς) ἐξέφυσέ τε καὶ ἐτελείωσεν. ὃ δὴ μέγιστον καὶ τοῖς ἀπίστοις ἔδοξε θαῦμα,

19 sqq Num 17, 8

ΚΛΟSH 1 τοῦ ὄντως ὄφεως: τοῦ ἀληθίνου θηρίου H τοῦ ὄντως ὄφεως τοῦ ἀληθίνου v 3 lemma hic ὡς κατεπόθησαν εἰς Ἅιδου ζῶντες οἱ ἐπαναστάντες κατὰ τῆς ἱερωσύνης O et in margine K 4 γεγενημένης: γενομένης v τὴν ex corr (ex εἰς?) Λ² 5 μεταστῆσαι om KOS ὑπὲρ: περὶ v 6 ἁμαρτανόντων S 7 συμπαθείας πρὸς τὸ ὁμόφυλον KO 8 διασχοῦσα: διασχεθεῖσα S 9 παγγενῆ: παγγενεῖς S παγγενεὶ v 10 τοῦ: τὰ Λ et in κατὰ corr Λ² ἑαυτοὺς om KOS v ἀντάραντας KOS 11-12 καταφλεχθέντες ΛH: καταφλεγόντες KO καταφλεγέντες S v 12 κατ' αὐτοὺς ΛS 13 δ' ἂν: ἂν δὲ Λ 15 τοῖς om KO δὴ om H v lemma ὡς ἐβλάστησεν ἡ ῥάβδος Ἀαρών O et idem in margine K 16 ἰδίου v ἑκάστην: ἑκάστου KOS v 17 post δεδωκότος add τὸ ὄνομα KO αἷς: οἷς KOS ἦν om S ἡ SH v: om ΚΛΟ 18 προθεὶς KO 19 τῆς om H 22 δὴ: δὲ KO

325 M. πῶς τὸ αὖον καὶ περιεξεσμένον καὶ ἄρριζον ἀθρόως πιανθὲν τὸ τῶν ἐρριζωμένων ἐνήργησεν ἀντὶ γῆς καὶ φλοιοῦ καὶ ἰκμάδος καὶ ῥίζης καὶ χρόνου τῆς θείας δυνάμεως γενομένης τῷ ξύλῳ. ἐπὶ τούτοις δι᾽ ἀλλοφύλων ἐθνῶν τὸν στρατὸν ἄγων, ἀπώμοτον ποιεῖται ταῖς ἀρούραις αὐτῶν καὶ τοῖς ἀμπελῶσι τῷ λαῷ συγχωρῆσαι τὴν δίοδον ἀλλὰ φυλάξαι τὴν βασιλικὴν ὁδὸν μήτε εἰς δεξιὰν μήτε εἰς ἀριστερὰν ἀποκλίναντα. τῶν δὲ πολεμίων οὐδὲ ἐπὶ τούτοις εἰρηνευόντων μάχῃ καταγωνισάμενος τὸ ἀλλόφυλον ἐγκρατὴς γίνεται τῆς παρόδου.

Εἶτά τις Βαλὰκ μείζονος ἔθνους τὴν ἡγεμονίαν ἔχων (Μαδιανῖται δὲ τῷ ἔθνει τὸ ὄνομα) πρὸς τὸ πάθος τῶν προεαλωκότων καταπλαγεὶς καὶ ὅσον οὐδέπω τὰ ἴσα παρὰ τῶν Ἰσραηλιτῶν πείσεσθαι προσδοκήσας, ἐπάγεται πρὸς συμμαχίαν ὅπλων μὲν καὶ σωμάτων βοήθειαν οὐδεμίαν, περίεργον δὲ μαγγανείαν διά τινος Βαλαάμ, ὃς περὶ ταῦτα δεινὸς ἐθρυλλεῖτο εἶναι καὶ παρὰ τῶν κεχρημένων αὐτῷ ἔχειν τινὰ πρὸς τὰς τοιαύτας σπουδὰς δύναμιν ἐπιστεύετο. ᾧ τέχνη μὲν ἦν ἡ οἰωνιστική, δαιμόνων δέ τινων συνεργίᾳ χαλεπὸς ἦν ἐπάγων τοῖς ἀνθρώποις περιεργοτέρᾳ τινὶ δυνάμει τὰ ἀνήκεστα. ὃς τοῖς ἀπάγουσιν αὐτὸν ἐπὶ τὸν βασιλέα τοῦ ἔθνους ἑπόμενος, τῇ φωνῇ τῆς ὄνου τὸ μὴ

6-7 Num 20, 17 10 sqq Num 22, 2 sqq 15 sqq Num 22, 5 sqq; cf Apoc 2, 14 18 sqq cf Philo De vita Moysis I, 282

ΚΛΟSH 1 αὖον ΛSH: λεῖον KO ἄφλοιον v ἄρριζον: ἄριζον ΚΟΛ (quod corr Λ^2) v ἄριστον H τὸ: τὰ v 3 χρόνου: κλώνων v χρόνου καὶ ῥίζης H γινομένης H 4 ἐθνῶν: ἐχθρῶν C post ἐθνῶν add κωλυόντων τὴν πάροδον KO ἀγαγὼν C ἄγων τὸν στρατὸν S 5 τοῖς ἀμπελῶσι ΚΛΟS: ταῖς ἀμπελῶσι H ταῖς ἀμπέλοις v μὴ post λαῷ add KO 7 δεξιὰν . . . ἀριστερὰν ΚΛΟΗ: δεξιὰ . . . ἀριστερὰ Λ^{2}S v 8-9 καταγωνισάμενος ΚΛ^{2}OS v: καταγωνισαμένων Λ καταπονησάμενος H 9 τὸ ἀλλόφυλον ΚΛΟS: τὸν ἀντίπαλον H v ut lemma τὰ κατὰ τὸν Βαλαάμ O in margine autem K 11 τοὔνομα v 11-12 προεαλωκότων H: ἑαλωκότων ΚΛΟS προολωλότων v 12-13 τὰ ἴσα πείσεσθαι Λ 15 δέ τινα ΛΗ περὶ om H v 16 ἐθρυλεῖτο KOS ἐποιεῖτο H v 17 ᾧ: ὡς Λ 18 ἡ om KOSH τινων: τινι H συνεργίᾳ K^{2}ΛOSH: -είᾳ K v 19 χαλεπῶς ΛS ἦν ἐπάγων: ἐπῆγε S 19-20 δυνάμει τινὶ H 20 ἐπὶ: πρὸς ΛS

αἴσιον αὐτῷ τὴν ὁδὸν εἶναι διδάσκεται. εἶτα διά τινος ἐμφανείας τὸ πρακτέον μαθὼν ἀσθενεστέραν εὗρε τὴν κακοποιὸν μαγγανείαν τοῦ βλάβην τινὰ τοῖς παρὰ τοῦ θεοῦ συμμαχουμένοις προστρίψασθαι. ἀντὶ δὲ τῆς τῶν δαιμόνων ἐνεργείας ἐκ θείας ἐπιπνοίας ἔνθους γενόμενος τοιαύτας ἐφθέγξατο φωνάς ὡς προφητείαν ἄντικρυς εἶναι τῶν εἰς ὕστερον πρὸς τὸ κρεῖττον ἐκβησομένων. δι' ὧν γὰρ ἐκωλύθη πρὸς τὸ κακὸν ἐνεργῆσαι τῇ τέχνῃ, διὰ τούτων τῆς θείας δυνάμεως ἐν αἰσθήσει γενόμενος, χαίρειν ἐάσας τὴν μαντικὴν ὑποφητεύει τῷ θείῳ θελήματι. ἐπὶ τούτοις τὸ μὲν ἔθνος τῶν ἀλλοφύλων ἐκτρίβεται ἐπικρατεστέρου τοῦ λαοῦ κατὰ τὸν πόλεμον γεγόνοτος, ἡττηθέντος δὲ μετὰ ταῦτα τῷ τῆς ἀκολασίας πάθει ἐν ταῖς αἰχμαλώτοις, ὅτε τοῦ Φινεὲς τοὺς ἐν ἀτιμίᾳ συμπλακέντας μιᾷ πληγῇ διελάσαντος ἀνάπαυλαν ἔσχε τοῦ θεοῦ ἡ κατὰ τῶν λελυσσηκότων πρὸς τὰς ἀθέσμους μίξεις ὀργή, τότε ἀναβὰς ἐπί τι ὄρος ὑψηλὸν ὁ νομοθέτης καὶ πόρρωθεν τὴν χώραν κατασκεψάμενος, ἣ διὰ τῆς θείας ἐπαγγελίας τῆς πρὸς τοὺς πατέρας γεγενημένης τῷ Ἰσραὴλ παρεσκεύαστο, μεθίσταται τοῦ ἀνθρωπίνου βίου οὐδὲν ἐν τῇ γῇ σημεῖον οὐδὲ μνημόσυνον τῆς ἑαυτοῦ μεταστάσεως ἐν τάφοις ὑπολειπόμενος.

Οὗ τῷ κάλλει χρόνος οὐκ ἐλυμήνατο οὔτε τῶν ὀφθαλμῶν τὴν λαμπηδόνα ἠμαύρωσεν οὔτε τὴν ἀπολάμπουσαν τοῦ

9 Num 24, 2 sqq 13 sqq Num 25, 7-8 16 sqq Deut 34, 1 sqq 22-23 cf Simonides frag 4, 5 (Bergk; 26, 5 Page)

ΚΛΟSH 1 αὐτῷ v αὐτοῦ S 2-3 τὴν κακοποιὸν εὗρε S 3 τοῦ om SH 4 συμμαχομένοις K (sed corr K²) O et forte ante corr H 5 ἐπινοίας O 5-6 τοιαύτας . . . φωνάς Λ: τοιαύτας post φωνὰς coll H v τοιαύτας om KOS 6 ἐφθέγγετο Λ εἶναι om H 8 ἡ τέχνη KOS τούτων: τοῦ H 10 καὶ ἐπὶ H v 11 ἐντρίβεται v 12-13 τοῦ . . . πάθους H v 13 ταῖς: τοῖς KOS 14 συνελάσαντος H 15 ἀνάπαυλαν ΛS: παῦλαν KOH παῦσαν v ἔσχε om K 16 λήξεις Λ (at corr Λ²) ὀργή om Λ 17 κατασκεψάμενος τὴν χώραν K (sed ordinem restaur K²) 18 τῆς ante θείας om Λ τῆς alt om O γεγενημένας Λ (sed corr Λ²) 19 παρεσκευάσατο KO μεθίστατο KO 20 αὐτοῦ KO 21 ὑπολειπόμενος ἐν τάφοις KO ὑπολιπόμενος S 22 τὸ κάλλος SH οὔτε: οὐ S

προσώπου χάριν ἀπήμβλυνεν. ἀλλ᾽ ἦν ἀεὶ ὡσαύτως ἔχων καὶ κατὰ ταὐτὰ ἐν τῷ ἀτρέπτῳ τῆς φύσεως διασώσας τὸ ἐν τῷ καλῷ ἀμετάπτωτον. ταῦτα μὲν ὅσα ἐκ τῆς προχείρου τοῦ ἀνδρὸς ἱστορίας ἐμάθομεν, ἐν ἐπιδρομῇ σοι διηγησάμεθα, εἰ καί πως ἡ ὑπόθεσίς ἐστιν ἐν οἷς τὸν λόγον ἀναγκαίως ἐπλάτυνε. καιρὸς δ᾽ ἂν εἴη πρὸς τὸν προκείμενον ἡμῖν τοῦ λόγου σκοπὸν ἐφαρμόσαι τὸν μνημονευθέντα βίον, ὡς ἄν τις γένοιτο ἡμῖν ἐκ τῶν προειρημένων πρὸς τὸν κατ᾽ ἀρετὴν βίον συνεισφορά. ἀναλάβωμεν τοίνυν τὴν ἀρχὴν τοῦ περὶ αὐτοῦ διηγήματος.

ΛΟΓΟΣ Β΄

328 M.

Θεωρία

Ὅτε καταφθείρεσθαι τὸ ἄρρεν ὁ τυραννικὸς διακελεύεται νόμος, τότε γεννᾶται ὁ Μωϋσῆς. πῶς οὖν τὴν συντυχικὴν τοῦ ἀνδρὸς γέννησιν ἐκ προαιρέσεως ἡμεῖς μιμησόμεθα; οὐ γὰρ δὴ καὶ τοῦτο τῶν ἐφ᾽ ἡμῖν εἶναι πάντως ἐρεῖ τις ὥστε μιμήσασθαί τινα τῇ καθ᾽ ἑαυτὸν γενέσει τὸν εὐδόκιμον τόκον. ἀλλ᾽ οὐδὲν χαλεπὸν ἐκ τοῦ δοκοῦντος δυσχερεστέρου τῆς μιμήσεως ἄρξασθαι. τίς γὰρ οὐκ οἶδεν ὅτι πᾶν τὸ ἐν ἀλλοιώσει κείμενον οὐδέποτε αὐτὸ ἐφ᾽ ἑαυτοῦ μένει, ἀλλ᾽ ἕτερον ἐξ ἑτέρου πάντοτε γίνεται, πρὸς τὸ κρεῖττον ἢ πρὸς τὸ χεῖρον ἀεὶ τῆς ἀλλοιώσεως ἐνεργουμένης; νοείσθω δὲ καθ᾽ ὑπόθεσιν.

12-13 Ex 1, 16

ΚΛΟSH 1 ἦν: ὡς K om OS 2 ταὐτὰ scripsi: τὰ αὐτὰ ΛS ταῦτα KO ταὐτὸν H v ἀτρέπτῳ KΛO: τρέπτῳ SH v 3 καλῷ: κάλλει v post μὲν add οὖν H v 4 ad ἐν ἐπιδρομῇ in marg habet ἐν σπουδῇ K² S² 5 εἰ: ἢ H ἡ: καὶ KO 6 δ᾽ om Λ 8 εἰρημένων H ut subscr habent τοῦ ἁγίου Γρηγορίου Νύσης λόγος ᾱ εἰς τὸν βίον Μωϋσέως περὶ ἀρετῆς KO

Tit: τοῦ αὐτοῦ λόγος β̄ περὶ ἀρετῆς KO τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης λόγος <β̄> περὶ ἀρετῆς Λ θεωρία τῆς ἐκτεθείσης ἱστορίας S θεωρία εἰς τὸν τοῦ Μωϋσέως βίον v nihil tale H

13 διακελεύεται: διεκελεύετο S v 17 αὐτὸν O γεννήσει SH v 18 δυστυχέστερον H 20 κείμενον ut vid Λ sed in κινούμενον corr Λ² 21 γίνεται πάντοτε KO 22 ἐνεργούμενον KO

ἡ μὲν ὑλική τε καὶ ἐμπαθεστέρα διάθεσις, πρὸς ἣν ἡ ἀνθρωπίνη φύσις κατολισθαίνουσα φέρεται, τὸ θῆλυ τῆς ζωῆς, ὃ τῷ τυράννῳ φίλον ἐστὶ ζωογονούμενον· τὸ δὲ κατεσκληκός τε καὶ σύντονον τῆς ἀρετῆς ὁ ἀνθρώδης τόκος, ὁ πολέμιος τῷ τυράννῳ καὶ πρὸς ἐπανάστασιν τῆς ἀρχῆς αὐτοῦ ὕποπτος. δεῖ οὖν τὸ ἀλλοιούμενον πάντως που ἀεὶ γεννᾶσθαι. οὐ γὰρ ἄν τι τῶν πάντοτε ἀεὶ ὡσαύτως ἐχόντων ἐν τῇ τρεπτῇ φύσει θεωρηθείη. τὸ δὲ οὕτως γεννᾶσθαι οὐκ ἐξ ἀλλοτρίας ἐστὶν ὁρμῆς καθ' ὁμοιότητα τῶν σωματικῶς τὸ συμβὰν ἀπογεννώντων, ἀλλ' ἐκ προαιρέσεως ὁ τοιοῦτος γίνεται τόκος. καί ἐσμεν ἑαυτῶν τρόπον τινὰ πατέρες, ἑαυτοὺς οἵους ἂν ἐθέλωμεν τίκτοντες καὶ ἀπὸ τῆς ἰδίας προαιρέσεως εἰς ὅπερ ἂν ἐθέλωμεν εἶδος ἢ ἄρρεν ἢ θῆλυ τῷ τῆς ἀρετῆς ἢ κακίας λόγῳ διαπλασσόμενοι. ἔξεστι καὶ ἡμῖν πάντως ἄκοντος τοῦ τυράννου καὶ λυπουμένου, ἐπὶ τῇ ἀστειοτέρᾳ γεννήσει παρελθεῖν τε εἰς φῶς καὶ τοῖς γονεῦσι τοῦ καλοῦ τούτου κυήματος (λογισμοὶ δ' ἂν εἶεν οὗτοι οἱ τῆς ἀρετῆς γινόμενοι πατέρες) ὀφθῆναί τε μεθ' ἡδονῆς καὶ ζωογονηθῆναι, κἂν ὑπεναντίον ᾖ τῷ τοῦ τυράννου φρονήματι. οὐκοῦν ὡς ἄν τις ἐκ τῆς ἱστορίας τὰς ἀφορμὰς λαβὼν ἐπὶ τὸ γυμνότερον διακαλύπτοι τὸ αἴνιγμα, τοῦτο διδάσκει ὁ λόγος ἀρχὴν τοῦ κατ' ἀρετὴν ποιεῖσθαι βίου τὸ ἐπὶ λύπῃ τοῦ ἐχθροῦ γεννηθῆναι, ἐν τῷ τοιούτῳ φημὶ τῆς γεννήσεως εἴδει, ἧς ἡ προαίρεσις τὴν ὠδῖνα μαιεύεται. οὐ γὰρ ἄν τις λυπήσειε τὸν ἀντίπαλον μὴ τοιαῦτα δεικνὺς ἐφ' ἑαυτοῦ τὰ γνωρίσματα

1 sqq cf Philo Leg all III, 243; Quaest Ex I, 8 12 sqq cf Philo Leg all III, 180

ΚΛΟSH 1 post μὲν add γὰρ v 2 φέρεται: φαίνεται Λ 5 τὴν post πρὸς add Λ 6 πάντως . . . ἀεὶ Λ: ἀεὶ πάντως H που ἀεὶ πάντως v που ἀεὶ KOS 7 ἀεὶ post παντότε om KOSH v 9 σωματικῶν Λ 11 ἂν: ἐὰν KOS om H 12 ἐθέλομεν H θέλωμεν KO τες in τίκτοντες om O sed add manu forte eadem et in ras scr Λ 14 καὶ ante ἔξεστι add H v 15 καὶ om H 16 φῶς καὶ ex corr ut vid scr H 17 κυήματος: κτήματος KO 18 μεθ' ἡδονῆς ὀφθῆναί τε Λ 20 τὰς ἀφορμὰς: τὴν ἀρετὴν Λ τὴν ἀρχὴν C τὰς om H 21 ἀνακαλύπτοι S 24 λυπήσῃ S 25 τὰ om v

οἷα τῆς κατ᾽ ἐκείνου νίκης τεκμήρια γίνεσθαι. τῆς δὲ αὐτῆς προαιρέσεως πάντως ἐστὶ γεννῆσαί τε τὸ ἀνδρεῖον τοῦτο καὶ ἐνάρετον γέννημα καὶ ταῖς καθηκούσαις τροφαῖς τιθηνήσασθαι καὶ ὅπως ἂν ἐκ τοῦ ὕδατος διασωθείη ἀπαθῶς προνοήσασθαι. οἱ μὲν γὰρ τῷ τυράννῳ τοὺς τόκους αὐτῶν χαριζόμενοι γυμνά τε καὶ ἀπρονόητα τῷ ῥείθρῳ τὰ τέκνα διδόασι. ῥεῖθρον δὲ τὸν βίον φημὶ τὸν τοῖς ἐπαλλήλοις
329 M. πάθεσι κυματούμενον, ὑφ᾽ ὧν τὸ ἐν τῷ ῥείθρῳ γινόμενον ὑποβρύχιον καταδύεταί τε καὶ καταπνίγεται. οἱ δὲ σώφρονές τε καὶ προνοητικοὶ λογισμοί, οἱ τῆς ἀνδρείας γονῆς πατέρες, ὅταν καταχθῇ πρὸς τὰ τῆς ζωῆς ταύτης κύματα τὸ ἀγαθὸν ἔκγονον τῇ τοῦ βίου ἀνάγκῃ, κιβωτῷ πρὸς τὸ μὴ γενέσθαι βύθιον τὸν τῷ ῥείθρῳ δοθέντα κατασφαλίζονται. κιβωτὸς δ᾽ ἂν εἴη ἐκ διαφόρων σανίδων συμπεπηγυῖα ἡ ἐκ ποικίλων μαθημάτων πηγνυμένη παίδευσις, ἣ ἄνω τῶν κυμάτων τὸν δι᾽ αὐτῆς ἐπιφερόμενον τοῦ βίου ἀνέχουσα, ἧς ὑπαρχούσης οὐδὲ ἐπὶ πολὺ τῷ σάλῳ τῶν ὑδάτων ἐμπλανηθήσεται ταῖς τῶν κυμάτων ὁρμαῖς συμφερόμενος, ἀλλ᾽ ἐπὶ τοῦ σταθεροῦ τῆς ὄχθης, τουτέστιν ἔξω τοῦ βιωτικοῦ σάλου γινόμενος, αὐτομάτως ὑπὸ τῆς φορᾶς τῶν ὑδάτων πρὸς τὸ σταθερὸν ἀπωσθήσεται.

Ὃ δὴ καὶ τῇ πείρᾳ μανθάνομεν ἀφορῶντες ὅτι καὶ τοὺς

7 sqq cf Maximus Tyr Diss 40, 5; Marcus Aurel 5, 23; Methodius Symp IV, 1-4

ΚΛΟSH Pap (22 ἀφορῶντας - 36, 3 ἑαυτῆς ἀπ[ ]) 1 ἐκεῖνον Λ 4 ἀπαθῶς post ὕδατος coll H 5 προνοηθῆναι ΛS τοὺς τόκους: τοῦ σκότους ΚΟ αὐτῶν: αὐτὰ ΚΟ 7 διαδιδόασι v τοῦ βίου v τὸν ἐν τοῖς H 7 ἐναλλήλων ut vid H 8 ὧν: ὃν S οὗ H v 9 ὑποβρύχιον H v: om ΚΛΟS τε om Λ 11 καταχθῇ Λ: κατάγῃ S καταβῇ ΚΟ κατάγειν v om H ταύτης om v 12 ἔγγονον ΚΛΟ τῇ . . . ἀνάγκῃ Λ: ἡ . . . ἀνάγκη ΚΟSH v βιάσηται post ἀνάγκη add H v κιβωτίῳ Λ τὸ: τῷ H 14 ἡ ἐκ Λ sed oblitt Λ² ἡ om Λ (sed suprascr Λ²) 15 πηγνυμένη: συμπηγνυμένη v συμπνιγομένη H 16 τῷ βίῳ H 17 ταῖς om S 17-20 ἐμπλανηθήσεται . . . ὑδάτων per hom (ut vid) om Λ 18 συμπεριφερόμενος ΚΟ σταθηροῦ H 19 γενόμενος ΚΟΗ 20 σταθηρὸν H v 22 inc Pap ἀφορῶντας sed nihil tale codd ἀφορῶντες scripsi sec Pap et lat (*videmus*. . .) καὶ H v Pap: om ΚΛΟS

μὴ βαπτιζομένους ταῖς ἀνθρωπίναις ἀπάταις αὐτῶν τῶν πραγμάτων ἡ ἄστατός τε καὶ πεφορημένη κίνησις ἀφ᾽ ἑαυτῆς ἀπωθεῖται ὥσπερ τι βάρος μάταιον τοὺς διὰ τῆς ἀρετῆς ἐνοχλοῦντας λογιζομένη. ὁ δὲ τῶν τοιούτων ἔξω γενόμενος μιμείσθω τὸν Μωϋσέα καὶ μὴ φειδέσθω τῶν δακρύων, κἂν ἐν κιβωτῷ κατησφαλισμένος τύχῃ· ἀσφαλὴς γὰρ φύλαξ τῶν δι᾽ ἀρετῆς σῳζομένων τὸ δάκρυον. εἰ δὲ ἡ ἄγονός τε καὶ στεῖρα βασιλέως οὖσα θυγάτηρ (ἣν οἶμαι τὴν ἔξωθεν κυρίως νοεῖσθαι φιλοσοφίαν) ὑποβαλλομένη τὸν νέον μήτηρ τοῦ τοιούτου κληθῆναι κατασκευάσειεν, ἕως τότε συγχωρεῖ ὁ λόγος μὴ ἀπωθεῖσθαι τὴν τῆς ψευδωνύμου μητρὸς οἰκειότητα, ἕως ἄν τις τὸ ἀτελὲς τῆς ἡλικίας ἐν ἑαυτῷ βλέπῃ. ὁ δὲ πρὸς ὕψος ἤδη ἀναδραμών, ὡς περὶ τοῦ Μωϋσέως ἐμάθομεν, αἰσχύνην ἡγήσεται τῆς κατὰ φύσιν ἀγόνου παῖς ὀνομάζεσθαι. ἄγονος γὰρ ὡς ἀληθῶς ἡ ἔξωθεν παίδευσις ἀεὶ ὠδίνουσα καὶ μηδέποτε ζωογονοῦσα τῷ τόκῳ. τίνα γὰρ ἔδειξε καρπὸν τῶν μακρῶν ὠδίνων ἡ φιλοσοφία ἢ τίνα τῶν τοσούτων τε καὶ τοιούτων ἄξιον πόνων; οὐ πάντες ὑπηνέμιοί τε καὶ ἀτελεσφόρητοι πρὶν εἰς τὸ φῶς ἐλθεῖν τῆς θεογνωσίας ἀμβλίσκονται, δυνάμενοι ἴσως γενέσθαι ἄνθρωποι, εἰ μὴ διόλου τοῖς κόλποις τῆς ἀγόνου σοφίας ἐνεκαλύπτοντο;

Οὐκοῦν τοσοῦτόν τις τῇ τῶν Αἰγυπτίων βασιλίδι συζήσας ὅσον μὴ δοκεῖν ἄμοιρος εἶναι τῶν παρ᾽ ἐκείνοις σεμνῶν, ἀναδραμέτω πρὸς τὴν κατὰ φύσιν μητέρα, ἧς οὐδὲ παρὰ τῇ

14 sqq cf Philo Leg all I, 75-6

ΚΛΟSH 1 μὴ om H βαπτιζομένους: συνδιαβαπτιζομένους H v et forte Pap ἔτι ante ταῖς add v 3 δι᾽ ἀρετῆς ΛH 4 γινόμενος H 6 τύχοι KO ἀσφαλὴς: ἀκριβὴς v 7 διὰ τῆς KO lemma post δάκρυον habet ὅτι ἄγωνος ἡ ἔξω σοφία καὶ ἀνοήτοις πρέπουσα O et idem in margine K εἰ δὲ ἡ: ἡ δὲ H 10 τότε: ὅτε H 12 prius ἕως ut lemma ὅτι οἱ ἀτελεῖς τὴν πνευματικὴν ἡλικίαν μὴ παραιτείσθωσαν τὴν ἔξω φιλοσοφίαν O quod in margine K 16 τῷ τόκῳ: τῷ τοκετῷ Λ τὸν τόκον S² 17 ἢ τίνα om H v 19 εἰς φῶς S ἀμβλίσκονται ΚΛΟ v (et in margine glossam ἐπιτρώσκονται KO): ἀμβλώσκονται S ἀμβλύσκονται H 21 ἐκαλύπτοντο S 24 ἀναδραμείτω v κατὰ φύσιν: φύσιν Λ φύσει Λ² παρὰ τῇ: παρ᾽ αὐτῇ K 24 - p 39, 1 ἧς . . . τῷ om S

βασιλίδι τρεφόμενος ἀπεσχίσθη τῷ μητρῴῳ γάλακτι, καθὼς ἡ ἱστορία φησί, τιθηνούμενος. ὅπερ μοι δοκεῖ διδάσκειν, ἵν', εἰ τοῖς ἔξωθεν λόγοις καθομιλοίημεν ἐν τῷ καιρῷ τῆς παιδεύσεως, μὴ χωρίζεσθαι τοῦ ὑποτρέφοντος ἡμᾶς τῆς ἐκκλησίας γάλακτος. τοῦτο δ' ἂν εἴη τὰ νόμιμά τε καὶ τὰ ἔθη τῆς ἐκκλησίας οἷς τρέφεται ἡ ψυχὴ καὶ ἁδρύνεται ἐντεῦθεν τῆς εἰς ὕψος ἀναδρομῆς τὰς ἀφορμὰς ποιουμένη. ἀληθὴς δὲ ὁ λόγος ὅτι δύο πολεμίων μέσος γενήσεται ὁ πρὸς τὰ ἔξωθεν δόγματα καὶ μὴ τὰ πάτρια βλέπων· ἀνθίσταται γὰρ ὁ κατὰ τὴν θρησκείαν ἀλλόφυλος τῷ Ἑβραίῳ λόγῳ ἰσχυρότερος φανῆναι τοῦ Ἰσραηλιτικοῦ φιλονεικῶν. καὶ πολλοῖς γε τῶν ἐπιπολαιοτέρων τοιοῦτος ἔδοξεν οἳ καταλιπόντες τὴν πατρῴαν πίστιν τῷ ἐχθρῷ συνεμάχησαν παραβάται τῆς πατρίου διδασκαλίας γενόμενοι.

Ὁ μέντοι κατὰ τὸν Μωϋσέα μέγας τε καὶ γενναῖος τὴν ψυχὴν νεκρὸν ἀποδείκνυσι τῇ παρ' ἑαυτοῦ πληγῇ τὸν τῷ λόγῳ τῆς ἀληθείας ἀντεγειρόμενον. καὶ ἄλλως δ' ἄν τις εὕροι τὴν τοιαύτην ἐν ἡμῖν μάχην· μέσος γὰρ ὁ ἄνθρωπος οἷόν τι ἔπαθλον ἀγῶνος τοῖς ἐκ τοῦ ἐναντίου μεταποιουμένοις
332 M. πρόκειται· καὶ ᾧπερ ἂν προστεθῇ, τοῦτον νικητὴν τοῦ ἐναντίου ποιεῖ, οἷον εἰδωλολατρεία καὶ θεοσέβεια, ἀκολασία καὶ σωφροσύνη, δικαιοσύνη καὶ ἀδικία, τῦφος καὶ μετριότης καὶ πάντα τὰ ἐξ ἀντιθέτου νοούμενα Αἰγυπτίου τινὸς ἄντικρύς ἐστι πρὸς Ἑβραῖον μάχη.

5 cf Methodius Symp I, 1 9 sqq cf Philo Leg all III, 38

ΚΛΟSH 1 ὁ ante τῷ add H 3 ἵν' KOH v: ἵνα ΛS del Daniélou 4 μὴ χωριζέσθω H 5 εἴη: εἶεν KO 6 ἔθη: ἤθη v οἷς: ἧς Λ (at corr Λ²) ἡ om H 7 ποιουμένη: δεχομένη v 8 ὁ ἔξωθεν λόγος KO 9 μὴ om H 11 φανῆναι: ὀφθῆναι KOH Ἰσραηλίτου KOSH φιλονεικῶν: φιλοσοφῶν Λ 12 τοιοῦτοι ἔδοξαν KO εἶναι post ἔδοξεν add H οἳ: ὅσοι KO καταλείποντες KO 13 πατρῴαν: πάτριον H 14 πατρίου: πατρῴας KOH πατρῴου Λ 16 ἑαυτοῦ S: αὑτοῦ ΚΛΟΗ v 17 ἀληθείας Λ: εὐσεβείας KOSH v 19 ἐκ om S 20 ᾧπερ ut vid Λ sed ὅπερ Λ² προτεθῇ Λ sed corr ut vid Λ² 21 ποιῇ O ἀκολασία τε KO 22 δικαιοσύνη τε KO

Παιδεύει τοίνυν ἡμᾶς ὁ Μωϋσῆς τῷ καθ' ἑαυτὸν ὑποδείγματι συνίστασθαι μὲν ὡς ὁμοφύλῳ τῇ ἀρετῇ, ἀναιρεῖν δὲ τὸν ἐκ τοῦ ἐναντίου τῇ ἀρετῇ ἐπεμβαίνοντα· τῷ ὄντι γὰρ ἡ τῆς εὐσεβείας ἐπικράτησις θάνατος καὶ φθορὰ τῆς εἰδωλολατρείας γίνεται. οὕτω καὶ διὰ τῆς δικαιοσύνης ἀναιρεῖται ἡ ἀδικία καὶ τῇ μετριότητι ὁ τῦφος καταφονεύεται. ἀλλὰ καὶ ἡ τῶν ἐμφυλίων πρὸς ἀλλήλους στάσις καὶ ἐν ἡμῖν γίνεται. οὐ γὰρ ἂν αἱ τῶν πονηρῶν αἱρέσεων δογματοποιΐαι χώραν ἔσχον μὴ εἰς ἀντίπαλον τάξιν τῶν πεπλανημένων λογισμῶν τοῖς ἀληθεστέροις ἀντιβαινόντων. ἐὰν οὖν ἀσθενέστεροι ὦμεν ἢ ὥστε δι' ἑαυτῶν δοῦναι τῷ δικαίῳ τὸ κράτος ὑπερισχύοντος διὰ τῶν ἐπιχειρημάτων τοῦ χείρονος καὶ τὴν ἀρχὴν τῆς ἀληθείας ἀπωθουμένου, φευκτέον ἐντεῦθεν ὡς τάχιστα καθ' ὁμοιότητα τοῦ ἱστορικοῦ ὑποδείγματος πρὸς μείζονά τε καὶ ὑψηλοτέραν τῶν μυστηρίων διδασκαλίαν. κἂν ἀλλοφύλῳ πάλιν συνοικῆσαι δέῃ, τουτέστι κἂν τῇ ἔξω συγγενέσθαι σοφίᾳ καταναγκάζῃ ἡ χρεία, καὶ τοῦτο ἑλώμεθα τοὺς πονηροὺς ποιμένας τῆς ἀδίκου τῶν φρεάτων χρήσεως ἀποσκεδάσαντες, ὅπερ ἐστὶ τοὺς τῶν κακῶν διδασκάλους ἐπὶ τῇ πονηρᾷ χρήσει τῆς παιδεύσεως διελέγξαντες. οὕτως ἐφ' ἑαυτῶν ἰδιάσωμεν, οὐκέτι μαχομένοις τισὶ συμπλεκόμενοί τε καὶ μεσιτεύοντες ἀλλ' ἐν ὁμοφρονοῦσί τε καὶ ὁμογνωμονοῦσι τοῖς παρ' ἡμῶν βουκολουμένοις συζήσωμεν, πάντων τῶν ἐν ἡμῖν τῆς ψυχῆς κινημάτων προβάτων δίκην τῷ βουλήματι τοῦ ἐπιστατοῦντος λόγου ποιμαινομένων. καὶ οὕτω προσε-

ΚΛΟSH 1 κατ' αὐτὸν S 1-3 παιδεύει . . . ἐπεμβαίνοντα forte asceseos gratia intrusam suspicatus sum 2 ὁμοφύλων Λ sed corr ut vid Λ² 4 θάνατός ἐστι καὶ H φθορὰ: διαφθορὰ H v 5 ἡ om v 6 ὁ om KO καταχονεύεται (-χωνεύεται) O (K) 7 καὶ πρὸς v 8 αἱ om H 9 ἀντιπάλων H πεπλανημένων H: om ΚΛΟS v 11 ἢ om SH v 13 ἐντεύθεν: ἐνθένδε Λ 14 ὑποδείγματος om cuius loco τοῦ ἱστορικοῦ repetitum expunxit H 16 πάλιν om H συνοικῆσαι KOSH: συνοικεῖν γενέσθαι Λ συγγενέσθαι v δέῃ: δέοι KOS 17 σοφίᾳ: φιλοσοφίᾳ v καταναγκάζει ΟΛ (at corr Λ²) ἡ om H: τις S 21 ἑαυτῶν: ἑαυτοὺς v ἰδιάσομεν Λ 22 μεσιτεύσαντες H ὁμογνωμονοῦσί τε καὶ ὁμοφρονοῦσι KO 23 βουκολουμένοις: βουλομένοις Λ συζήσομεν Λ v 24 βουλήματι: κινήματι H

δρεύουσιν ἡμῖν τῇ εἰρηνικῇ ταύτῃ καὶ ἀπολέμῳ διαγωγῇ ἐπιλάμψει τότε ἡ ἀλήθεια ταῖς ἰδίαις μαρμαρυγαῖς τὰς τῆς ψυχῆς ὄψεις περιαυγάζουσα. θεὸς δέ ἐστιν ἡ ἀλήθεια ἡ ἐμφανισθεῖσα τότε διὰ τῆς ἀρρήτου ἐκείνης φωταγωγίας τῷ Μωϋσῇ.

Εἰ δὲ καὶ θάμνου τινὸς ἀκανθώδους τὸ φέγγος ἐξάπτεται, ᾧ ἡ ψυχὴ τοῦ προφήτου καταφωτίζεται, οὐδὲ τοῦτο ἀσυντελὲς ἡμῖν ἔσται πρὸς τὸ ζητούμενον. εἰ γὰρ θεὸς μὲν ἡ ἀλήθεια, ἡ δὲ ἀλήθεια φῶς ἐστι· ταῦτα δὲ τὰ ὑψηλά τε καὶ θεῖα τῶν ὀνομάτων ἡ τοῦ εὐαγγελίου φωνὴ προσμαρτυρεῖ τῷ διὰ σαρκὸς ἡμῖν ὀφθέντι θεῷ, ἀκολούθως ἡ τοιαύτη τῆς ἀρετῆς ἀγωγὴ προσάγει ἡμᾶς τῇ γνώσει τοῦ φωτὸς ἐκείνου, ὃ μέχρι τῆς ἀνθρωπίνης κάτεισι φύσεως, οὐκ ἀπό τινος τῶν περὶ τὰ ἄστρα φωστήρων λαμπόμενον, ὡς ἂν μὴ τῆς ὑποκειμένης ὕλης ἡ αὐγὴ νομισθείη, ἀλλ' ἀπὸ γηΐνης θάμνου τοὺς κατ' οὐρανὸν φωστῆρας ταῖς ἀκτῖσιν ὑπερβαλλόμενον. δι' οὗ διδασκόμεθα καὶ τὸ κατὰ τὴν παρθένον μυστήριον, ἀφ' ἧς τὸ τῆς θεότητος φῶς ἐπιλάμψαν τῷ ἀνθρωπίνῳ βίῳ διὰ γεννήσεως ἀδιάφθορον ἐφύλαξε τὴν ἐξάψασαν θάμνον τοῦ βλαστοῦ τῆς παρθενίας μὴ καταμαρανθέντος τῷ τόκῳ. παρ' ἐκείνου τοῦ φωτὸς διδασκόμεθα τί ποιήσαντες ἐντὸς τῶν ἀκτίνων τῆς ἀληθείας στησόμεθα, καὶ ὅτι οὐκ ἔστι δεδεμένοις
333 M. ποσὶν ἀναδραμεῖν πρὸς τὸ ὕψος ἐκεῖνο ἐν ᾧ τὸ φῶς τῆς ἀληθείας ὁρᾶται, εἰ μὴ περιλυθείη τῶν τῆς ψυχῆς βάσεων ἡ νεκρά τε καὶ γηΐνη τῶν δερμάτων περιβολὴ ἡ περιτεθεῖσα κατ' ἀρχὰς τῇ φύσει, ὅτε διὰ τῆς παρακοῆς τοῦ θείου

6 sqq cf Philo De vita Moysis I, 65; Ezech trag ap Euseb Praep evang 9, 29 8 Joh 14, 6; 8, 12 24-25 Gen 3, 21

ΚΛΟSH 1 ἀπολεμήτῳ S 1-2 ταύτῃ . . . ἀλήθεια om Λ 4-5 ut lemma περὶ τῆς βάτου O et idem in margine K 6 καὶ H v: om ΚΛΟS 7 τοῦ om KO 10 post ὀνομάτων add καὶ H v 11-12 ἀγωγῆς ἀρετὴ Λ 14 ὡς om Λ sed superscr Λ² 15 ἀπὸ ΚΛΟH v et ut vid S: ὑπὸ Z 20 μεταμαρανθέντος v τόκῳ: τοκετῷ Λ 21 δὲ post ἐκείνου add S 21-22 τί . . . στησόμεθα per hom om Λ 22 τῆς ἀληθείας: τοῦ ἀληθινοῦ φωτὸς KO καὶ om H v 23 πρὸς: εἰς KO 24 παραλυθείη S 25 περιβολὴ post φύσει (26) transp S

θελήματος ἐγυμνώθημεν. καὶ οὕτως ἐπακολουθήσει τούτων ἡμῖν γενομένων ἡ τῆς ἀληθείας γνῶσις αὐτὴ ἑαυτὴν φανεροῦσα, ἡ γὰρ τοῦ ὄντος ἐπίγνωσις τῆς περὶ τὸ μὴ ὂν ὑπολήψεως καθάρσιον γίνεται. τοῦτο δέ ἐστι, κατά γε τὸν ἐμὸν λόγον, ὁρισμὸς ἀληθείας τὸ μὴ διαψευσθῆναι τῆς τοῦ ὄντος κατανοήσεως. ψεῦδος γάρ ἐστι φαντασία τις περὶ τὸ μὴ ὂν ἐγγινομένη τῇ διανοίᾳ, ὡς ὑφεστῶτος τοῦ μὴ ὑπάρχοντος. ἀλήθεια δὲ ἡ τοῦ ὄντως ὄντος ἀσφαλὴς κατανόησις. καὶ οὕτως πολλῷ τις τῷ μεταξὺ χρόνῳ ταῖς ὑψηλαῖς δι' ἡσυχίας ἐμφιλοσοφήσας μελέταις μόγις κατανοήσει τί μέν ἐστιν ὡς ἀληθῶς τὸ ὄν, ὃ τῇ ἑαυτοῦ φύσει τὸ εἶναι ἔχει, τί δὲ τὸ μὴ ὄν, ὃ ἐν τῷ δοκεῖν εἶναι μόνον ἐστίν, ἀνυπόστατον ἔχον ἐφ' ἑαυτοῦ τὴν φύσιν.

Ὅ μοι δοκεῖ τότε ὁ μέγας Μωϋσῆς ἐν τῇ θεοφανείᾳ παιδευθεὶς γνῶναι ὅτι οὐδὲν τῶν ἄλλων, ὅσα τε τῇ αἰσθήσει καταλαμβάνεται καὶ ὅσα κατὰ διάνοιαν θεωρεῖται, τῷ ὄντι ὑφέστηκε, πλὴν ἣ τῆς ὑπερανεστώσης αἰτίας τοῦ παντός ἀφ' ἧς ἐξῆπται τὸ πᾶν. εἰ γάρ τι καὶ ἄλλο ἐν τοῖς οὖσιν ἡ διάνοια βλέπει, ἀλλ' ἐν οὐδενὶ τῶν ὄντων τὸ ἀπροσδεὲς τοῦ ἑτέρου ἐνθεωρεῖ ὁ λόγος, ᾧ δυνατόν ἐστι δίχα τῆς μετουσίας τοῦ ὄντος εἶναι. τὸ δὲ ὡσαύτως ἔχον ἀεί, τὸ ἀναυξές, τὸ ἀμείωτον, τὸ πρὸς πᾶσαν μεταβολὴν τήν τε πρὸς τὸ κρεῖττον καὶ πρὸς τὸ χεῖρον ἐπίσης ἀκίνητον· τοῦ μὲν γὰρ χείρονος ἠλλοτρίωται· τὸ δὲ κρεῖττον οὐκ ἔχει· τὸ δὲ παντὸς ἀνενδεὲς ἑτέρου, τὸ μόνον ὀρεκτὸν καὶ παρὰ παντὸς μετεχόμενον καὶ ἐν τῇ μετουσίᾳ τῶν μετεχόντων οὐκ ἐλαττούμενον.

ΚΛΟSH 2 ἡμῶν KO γινομένων H 2-3 αὐτὴ . . . ἐπίγνωσις per hom om v 3-4 (ὑπο)λήψεως . . . ἐμὸν om Λ 4 γε SH v: om KO 4-8 τοῦτο . . . κατανόησις definitiones falso forte inrepsisse sum suspicatus 6 γὰρ: δὲ H γινομένη S 8 ὄντως om v ὄντος ὄντως KO ἀσφαλὴς: ἀληθὴς KO οὕτω v 10 μόλις H v 11 αὐτοῦ v δὲ: δαὶ O 12 ἀνυπόστατον om Λ 14 τε om Λ 16 ἣ om ΚΛΟS v ὑπεράνω ἑστώσης v om S οὐσίας καὶ ante αἰτίας add v τοῦ παντὸς αἰτίας H ἀφ' om S 18 ἀλλ' ἐν: ἀλλ' KOSH ἄλλῳ coni Daniélou 19 θεωρεῖ KOS: εὐθεωρεῖ v ᾧ: ὃ ΛSH 19-20 εἶναι ante δίχα transp S εἰναι ut vid scr Λ δίχα τοῦ εἶναι δίχα τῆς μετουσίας τοῦ ὄντος H 21 τὴν post καὶ add ΛS 22 γὰρ om H 23 ἀνενδεὲς: ἀνδεεστέρου H 24 παρὰ om S μετεχόμενον in μετέχον corr H μετέχον S

Τοῦτό ἐστιν ἀληθῶς τὸ ὄντως ὂν καὶ ἡ τούτου κατανόησις τῆς ἀληθείας ἐστὶ γνῶσις. ἐν τούτῳ τοίνυν γενόμενος τότε μὲν ἐκεῖνος, νυνὶ δὲ πᾶς ὁ κατ' ἐκεῖνον τῆς γηΐνης ἑαυτὸν ἐκλύων περιβολῆς καὶ τὸ ἐκ τῆς βάτου φῶς βλέπων, τουτέστι πρὸς τὴν διὰ σαρκὸς τῆς ἀκανθώδους ταύτης ἐπιλάμψασαν ἡμῖν ἀκτῖνα ἥτις ἐστί, καθὼς τὸ εὐαγγέλιόν φησι, καὶ φῶς ἀληθινὸν καὶ ἡ ἀλήθεια, τότε τοιοῦτος γίνεται οἷος καὶ ἑτέροις εἰς σωτηρίαν ἀρκέσαι καὶ καθελεῖν μὲν τὴν ἐπικρατοῦσαν κακῶς τυραννίδα, ἐξελέσθαι δὲ πρὸς ἐλευθερίαν τὸ τῇ πονηρᾷ δουλείᾳ κατακρατούμενον, τῆς ἀλλοιωθείσης οὖν δεξιᾶς καὶ τῆς εἰς ὄφιν μεταβληθείσης βακτηρίας τῶν θαυμάτων καθηγουμένης.

Ὧι μοι δοκεῖ δι' αἰνίγματος τὸ διὰ τῆς σαρκὸς τοῦ κυρίου παραδηλοῦσθαι μυστήριον τῆς φανείσης τοῖς ἀνθρώποις θεότητος, δι' ἧς γίνεται ἥ τε τοῦ τυράννου καθαίρεσις καὶ ἡ τῶν ὑπ' αὐτοῦ κρατουμένων ἐλευθερία. τὰ δέ με πρὸς τὴν διάνοιαν ἀνάγοντα ταύτην ἐστὶ προφητική τε καὶ εὐαγγελικὴ μαρτυρία. ὁ μὲν γὰρ προφήτης φησίν· Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ὡς μὲν τῆς θείας φύσεως ἐν τῷ ἀναλλοιώτῳ θεωρουμένης, τῇ δὲ πρὸς τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως συγκαταβάσει πρὸς τὸ ἡμέτερον σχῆμά τε καὶ
336 M. εἶδος ἀλλοιωθείσης. καὶ γὰρ ἐκεῖ τοῦ νομοθέτου ἡ χεὶρ προβληθεῖσα τοῦ κόλπου πρὸς τὸ παρὰ φύσιν ἠλλοιώθη χρῶμα· καὶ πάλιν ἐν κόλποις γενομένη πρὸς τὴν ἰδίαν

6-7 Joh 1, 9 10 cf Ps 76, 11 18-19 Ps 76, 11

ΚΛΟSH 1 ὡς ἀληθῶς H v 2 ἡ ante τῆς add ΚΛΟS v γνῶσίς ἐστιν ΚΛΟS v γινόμενος H v 3 νυνὶ: νῦν ΚΟS v πᾶς om H κατ': μετ' Λ ἑαυτὸν: αὐτὸν Λ 6-7 καὶ . . . ἀληθινὸν H: τὸ φῶς τὸ ἀληθινὸν ΚΛΟS v 8 ἀρκέσαι: ἀρκέσοι Λ ἀρκεῖν H 9 πᾶν ante τὸ add H v 10 ut lemma περὶ τῆς ἀλλοιωθείσης τοῦ Μωϋσέως δεξιᾶς καὶ τῆς εἰς ὄφιν μεταβληθείσης βακτηρίας O quod praebet in margine K οὖν ΚΟ: om ΛSH v 13 ᾧ μοι Λ² v: ὅ μοι ΛSH ἐμοὶ ΚΟ τῆς om ΛH v 14 παραδηλοῦσθαι τοῦ κυρίου v 15 τε τοῦ: ἑτέρου H 16 ἐμὲ S 17 ἀνάγοντα Λ: ἄγοντα ΚΟSH v ταῦτά ἐστι S 19 ἂν μὲν Λ sed τῆς ante μὲν suprascr et alt τῆς expunxit Λ² ἐν τῷ H v: ἐν ΚΟ om ΛS 19-20 ἀναλλοιώτου ΛS 20 τῇ: τὸ H

αὐτῆς καὶ κατὰ φύσιν ἐπανῆλθε χάριν. καὶ Ὁ μονογενὴς θεὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, οὗτός ἐστιν ἡ δεξιὰ τοῦ ὑψίστου. ὅτε δὲ ἡμῖν ἐκ τῶν κόλπων ἐφάνη, καθ' ἡμᾶς ἠλλοιώθη· ἐπεὶ δὲ τὰς ἡμετέρας ἀσθενείας ἐκμάξας πάλιν ἐπανήγαγε τὴν ἐν ἡμῖν γενομένην χεῖρα καὶ καθ' ἡμᾶς χρωσθεῖσαν ἐπὶ τὸν ἴδιον κόλπον (κόλπος δὲ τῆς δεξιᾶς ὁ πατήρ), τότε οὐ τὸ ἀπαθὲς τῆς φύσεως εἰς πάθος ἠλλοίωσεν, ἀλλὰ τὸ τρεπτόν τε καὶ ἐμπαθὲς διὰ τῆς πρὸς τὸ ἄτρεπτον κοινωνίας εἰς ἀπάθειαν μετεστοιχείωσεν. ἡ δὲ εἰς ὄφιν μεταβολὴ τῆς βακτηρίας μὴ ταρασσέτω τοὺς φιλοχρίστους ὡς ἀπεμφαίνοντι ζῴῳ προσαρμοζόντων ἡμῶν τὸν τοῦ μυστηρίου λόγον. αὐτὴ γὰρ ἡ ἀλήθεια διὰ τῆς τοῦ εὐαγγελίου φωνῆς οὐ παραιτεῖται τὴν τοιαύτην εἰκόνα δι' ὧν φησιν· Ὥσπερ γὰρ Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· καὶ σαφὴς ὁ λόγος. εἰ γὰρ ὁ τῆς ἁμαρτίας πατὴρ ὄφις ὠνομάσθη ὑπὸ τῆς ἁγίας γραφῆς, καὶ τὸ ἐκ τοῦ ὄφεως γεννηθὲν πάντως ὄφις ἐστίν. οὐκοῦν ἀκολούθως ἡ ἁμαρτία τοῦ γεγεννηκότος αὐτήν ἐστι συνώνυμος. ἀλλὰ μὴν δι' ἡμᾶς ἁμαρτίαν γενέσθαι τὸν κύριον ὁ ἀποστολικὸς διαμαρτύρεται λόγος τὸν τὴν ἁμαρτητικὴν ἡμῶν φύσιν περιβαλλόμενον. κατὰ λόγον ἄρα τῷ κυρίῳ προσαρμόζει τὸ αἴνιγμα. εἰ γὰρ ὄφις ἡ ἁμαρτία, ὁ δὲ κύριος ἁμαρτία ἐγένετο, φανερὸν ἂν εἴη πᾶσι τὸ διὰ τῆς ἀκολουθίας ἀναφαινόμενον· ὁ γὰρ ἁμαρτία γενόμενος ὄφις ἐγένετο, ὃς οὐδὲν ἄλλο ἢ ἁμαρτία ἐστίν· ἀλλὰ δι' ἡμᾶς γίνεται ὄφις, ἐφ' ᾧτε τοὺς Αἰγυπτίους ὄφεις τοὺς παρὰ τῶν γοήτων

1-2 Joh 1, 18 2-3 Ps 76, 11 10 Ex 7, 10 14-15 Joh 3,14 (cf Num 21,9) 16 Gen 3,1 sqq 18-19 II Cor 5, 21

ΚΛΟSH 2 τοῖς H: om ΚΛΟS v οὗτός: ὃς S 4 δὲ om S 6 κόλπος: κόλποις H 8 τε om KO 9 εἰς: ὡς H 10 ταρασσέσθω v 12 τοῦ εὐαγγελίου: ἐὐαγγηλικῆς v 15 δεῖ καὶ Λ 16 ἁγίας: θείας v 19 μὴν: τὴν Λ quod in τὸ corr Λ² ἁμαρτίαν δι' ἡμᾶς v γενέσθαι: γεγενῆσθαι KO 21-22 προσαρμόζεται τῷ κυρίῳ H 22 ὁ ὄφις ΚΛΟS μὲν post ὄφις add H v ἡ om S 23 φανερὸν . . . ἐγένετο ut vid per hom om v διὰ: ἐκ H 25 ὃς . . . ἄλλο: ὅσον δὲ μᾶλλον H 26 ἐφότε H ἐφ' ᾧ ut vid S

ζωογονουμένους διαφαγεῖν τε καὶ δαπανῆσαι· οὗ γενομένου πάλιν εἰς τὴν βακτηρίαν μεθίσταται, δι᾽ ἧς σωφρονίζονται μὲν οἱ ἁμαρτάνοντες, ἀναπαύονται δὲ οἱ τὴν ἀνωφερῆ καὶ δυσπόρευτον τῆς ἀρετῆς πορείαν ἀνύοντες διὰ τῶν ἀγαθῶν ἐλπίδων τῇ βακτηρίᾳ τῆς πίστεως ἐπερειδόμενοι· Ἔστι γὰρ πίστις ἐλπιζομένων ὑπόστασις. ὁ τοίνυν ἐν περινοίᾳ τούτων γενόμενος θεὸς ἄντικρυς γίνεται, τῶν ἀνθεστηκότων μὲν τῇ ἀληθείᾳ, πρὸς δὲ τὴν ὑλώδη ταύτην καὶ ἀνυπόστατον ἀπάτην ἐπτοημένων, οἷς τὸ ἀκοῦσαι τοῦ ὄντος ὥς τι τῶν ματαίων καταπεφρόνηται. φησὶ γὰρ Φαραώ· Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ; οὐκ οἶδα τὸν κύριον. μόνον δὲ νομίζεται τίμιον ὅσον ὑλῶδες καὶ σάρκινον τῶν περὶ τὰς ἀλογωτέρας αἰσθήσεις ἀναστρεφομένων. εἰ τοίνυν ἐπὶ τοσοῦτον διὰ τῆς τοῦ φωτὸς ἐκλάμψεως δυναμωθείη, καὶ τοσαύτην ἰσχύν τε καὶ ἐξουσίαν κατὰ τῶν ἀντιτεταγμένων λάβοι, τότε καθάπερ τις ἀθλητὴς ἱκανῶς ἐν παιδοτρίβου τὴν ἀθλητικὴν ἀνδρείαν ἐκμελετήσας θαρρῶν ἤδη καὶ πεποιθὼς ἴτω πρὸς τὸν ἀγῶνα τῶν ἐχθρῶν διὰ χειρὸς τὴν βακτηρίαν ἔχων ἐκείνην, τουτέστι τὸν λόγον τῆς πίστεως ᾧ μέλλει τοὺς Αἰγυπτίους ὄφεις καταγωνίζεσθαι. ἀκολουθήσει δ᾽ αὐτῷ ἡ ἐξ ἀλλοφύλων ὁμόζυγος· ἔστι γάρ τι καὶ τῆς ἔξω παιδεύσεως πρὸς συζυγίαν ἡμῶν εἰς τεκνοποιΐαν ἀρετῆς οὐκ ἀπόβλητον. **337** M. καὶ γὰρ ἡ ἠθική τε καὶ φυσικὴ φιλοσοφία γένοιτο ἄν ποτε τῷ ὑψηλοτέρῳ βίῳ σύζυγός τε καὶ φίλη καὶ κοινωνὸς τῆς ζωῆς, μόνον εἰ τὰ ἐκ ταύτης κυήματα μηδὲν ἐπάγοιτο τοῦ ἀλλοφύλου μιάσματος. τούτου γὰρ μὴ περιτμηθέντος

1 cf Ex 7, 12 5-6 Heb 11, 1 10-11 Ex 5, 2

ΚΛΟSΗ 1 ἐνδαπανῆσαι v ἐκδαπανῆσαι H 4 ἀνύοντες ut vid H: ἀνιέντες KO ἰόντες ΛS ἀνιόντες v 7 γινόμενος S 9 τὸ: τοῦ ΛH ὥς: ὥσπερ v 10 ὁ Φαραώ H v 11 μόνος H νομίζεται: ὀνομάζεται Λ 14 ἀναλάμψεως S 15 λάβη KΛ^{2}OS v 16 ἱκανῷς Λ sed ὁ super ῶ scr Λ^2 παιδοτριβῆ S 17 θαρσῶν codd ἴτω om H v ὅτῳ Λ (sed corr Λ^2) 18 ἀποδύεται post ἐχθρῶν add H v 20 ut lemma περὶ τῆς συζύγου Μωϋσέως O at in margine K αὐτῷ: οὕτω KO 22 τεκνογονίαν KSH 23 γὰρ om KOS ἡ om ΛH δ᾽ἂν KOS 24 τοῦ ὑψηλοτέρου βίου S συζυγὴς KO 26 τούτου: τοῦ Λ quod in τῷ corr Λ^2 περιτμηθέντι Λ^2

καὶ περιαιρεθέντος, ὥστε πᾶν ἐπιβλαβὲς καὶ ἀκάθαρτον ἀφαιρεθῆναι, ὁ συναντῶν ἄγγελος τὸν περὶ τοῦ θανάτου φόβον ἐπάγει, ὃν ἱλεοῦται ἡ σύμβιος, ἡ καθαρὸν ἀποδεικνύουσα τὸ ἑαυτῆς ἔγγονον τῇ περιαιρέσει τοῦ ἰδιώματος ἐφ᾽ ᾧ γνωρίζεται τὸ ἀλλόφυλον. οἶμαι δὲ τῷ μεμυημένῳ τῆς ἱστορικῆς ὑφηγήσεως πρόδηλον εἶναι διὰ τῶν εἰρημένων τὴν ἀκολουθίαν τῆς κατ᾽ ἀρετὴν ἐπιδόσεως, ἣν ὑποδείκνυσιν ὁ λόγος τῷ εἱρμῷ τῶν ἱστορικῶν αἰνιγμάτων ἀκολούθως ἑπόμενος.

Ἔστι γάρ τι τῆς φιλοσόφου γονῆς ἐν μαθήμασι σαρκῶδές τε καὶ ἀκρόβυστον, οὗ περιαιρεθέντος τῆς Ἰσραηλιτικῆς εὐγενείας ἐστὶ τὸ λειπόμενον· οἷον ἀθάνατον εἶναι τὴν ψυχήν καὶ ἡ ἔξωθεν φιλοσοφία φησίν· οὗτος ὁ εὐσεβής ἐστι τόκος. ἀλλὰ μεταβαίνειν ἀπὸ σωμάτων εἰς σώματα καὶ ἐκ λογικῆς φύσεως εἰς ἄλογον αὐτὴν μεταφύεσθαι, τοῦτο ἡ σαρκώδης τε καὶ ἀλλόφυλός ἐστιν ἀκροβυστία. καὶ ἄλλα τοιαῦτα πολλά. θεὸν εἶναί φησιν, ἀλλὰ καὶ ὑλικὸν αὐτὸν οἴεται· δημιουργὸν αὐτὸν ὁμολογεῖ, ἀλλὰ ὕλης πρὸς τὴν δημιουργίαν δεόμενον. ἀγαθόν τε καὶ δυνατὸν εἶναι δίδωσιν, ἀλλὰ παραχωρεῖν ἐν πολλοῖς τῇ ἀνάγκῃ τῆς εἱμαρμένης. καὶ τί ἄν τις τὰ καθ᾽ ἕκαστον διηγοῖτο, ὅπως τὰ καλὰ τῶν δογμάτων παρὰ τῇ ἔξω φιλοσοφίᾳ ταῖς ἀτόποις προσθήκαις καταμολύνεται, ὧν περιαιρεθέντων ἵλεως ἡμῖν ὁ τοῦ θεοῦ ἄγγελος γίνεται ὡς γνησίῳ τόκῳ τῶν τοιούτων δογμάτων ἐπαγαλλόμενος.

ΚΛΟSH 1 περιαιρηθέντι Λ² 2 ὁ: ᾧ K τοῦ om KOSH v 2 ut lemma hic περὶ τοῦ ἀπαντήσαντος ἀγγέλου καὶ κωλύοντος τῷ Μωϋσεῖ O et in margine K 2-3 τὸν . . . ἱλεοῦται om H 4 ἔγγονον v et Λ (quod in ἐκγ- corr Λ²) : ἐκγ- KOSH ἰδιώματος: ἰδίου σώματος H ἐφ᾽ ᾧ: ἀφ᾽ οὗ Λ ᾧ H 5 μεμνημένῳ KOH et ut vid S ἱστοριακῆς O et K (sed α suprascr manu forte alt) 6 ἀφηγήσεως KOS 7 κατ᾽: πρὸς KO ὑποδείκνυσιν: ἐπιδείκνυσι H 8 αἰνιγμάτων: διηγημάτων S 11 εὐγενείας: συγγενείας Λ 12 ἐστι om H 13 ἐκ: ἀπὸ H 15 ἐστιν om H 17 τὴν om v 18 δίδωσιν: λέγουσιν S 19 τοῖς πολλοῖς v 20-21 τῆς φιλοσοφίας τῆς ἔξω S 22 ἵλεως ἡμῖν ante γίνεται transp Λ ὡς ΛSH v: τῷ KO ὡς τῷ scr Daniélou 23 ἡμῖν post δογμάτων add Λ ἐπαγαλλόμενος KOS v: ἐπαγγελλόμενος Λ ἐπαγγόμενος H

Ἀλλ' ἐπανιτέον πρὸς τὴν ἀκολουθίαν τοῦ λόγου ὡς ἂν καὶ ἡμῖν ἀπαντήσειέ ποτε πλησίον γενομένοις τῶν Αἰγυπτίων ἡ ἀδελφικὴ συμμαχία. μεμνήμεθα γὰρ ὅτι κατ' ἀρχὰς μὲν τοῦ κατ' ἀρετὴν βίου συντυχία γίνεται τῷ Μωϋσεῖ πολεμική τε καὶ στασιώδης, Ἑβραῖον καταπονοῦντος τοῦ Αἰγυπτίου καὶ πάλιν Ἑβραίου πρὸς τὸν ὁμόφυλον στασιάζοντος. ἤδη δὲ πρὸς τὸ μεῖζον τῶν τῆς ψυχῆς κατορθωμάτων διά τε τῆς μακρᾶς ἐπιμελείας καὶ τῆς ἐν τῷ ὕψει γενομένης φωταγωγίας ἐπαρθέντι φίλιός τε καὶ εἰρηνικὴ γίνεται ἡ συντυχία, θεόθεν τοῦ ἀδελφοῦ πρὸς τὴν ἀπάντησιν αὐτοῦ παρορμηθέντος. εἰ γὰρ πρὸς τὴν τροπικωτέραν μεταληφθείη θεωρίαν τὸ καθ' ἱστορίαν γεγενημένον, οὐδὲν ἂν ἡμῖν ἄχρηστον πρὸς τὸν ἡμέτερον εὑρεθείη σκοπόν. τῷ ὄντι γὰρ τοῖς ἐν ἀρετῇ κατορθωθεῖσι καὶ ἡ παρὰ τοῦ θεοῦ δοθεῖσα τῇ φύσει ἡμῶν συμμαχία συνίσταται, ἣ προγενεστέρα μέν ἐστι κατὰ τὴν πρώτην γένεσιν, τότε δὲ φαίνεται καὶ γνωρίζεται, ὅταν ἱκανῶς τῷ ὑψηλοτέρῳ βίῳ διὰ προσοχῆς τε καὶ ἐπιμελείας ἑαυτοὺς οἰκειώσαντες πρὸς τοὺς ἰσχυροτέρους τῶν ἀθλητῶν ἀποδυώμεθα. ὡς δ' ἂν μὴ δι' αἰνίγματος ἡμῖν τὰ αἰνίγματα διαλύοιτο, γυμνότερον ἐκθήσομαι τὴν περὶ τούτου διάνοιαν. λόγος τίς ἐστιν ἐκ πατρικῆς παραδόσεως τὸ πιστὸν ἔχων, ὅς φησι πεσούσης ἡμῖν εἰς ἁμαρτίαν τῆς φύσεως μὴ περιϊδεῖν τὸν θεὸν τὴν πτῶσιν ἡμῶν ἀπρονόητον,

1 sqq Ex 2, 11-15   9 sqq Ex 4, 27

(KO)ΛSH (om 12 οὐδὲν . . . p 46, 5 λυμαινόμενον **KO**) 1 τὴν τοῦ λόγου ἀκολουθίαν S 2 ἀγώνων post Αἰγυπτίων add H v hic lemma περὶ τῆς ἀπαντήσεως ἐν Αἰγύπτῳ τῷ Μωϋσῇ Ἀαρών O et in margine K 3 μεμυήμεθα v γὰρ ὅτι: μὲν ὅτι Λ γὰρ ὡς v 4 γίνεται hic om KO 5 στασιώδης: στρατιώδης v 6 τὸν: τὸ ut vid H 7 γίνεται post στασιάζοντος add KO ἤδη δὲ KΛOSH: εἰ δὲ v 8 διὰ post καὶ add v τῷ om KO γινομένης KOH 11 ὁρμηθέντος Λ 12 οὐδὲν ἂν coni Daniélou: οὐδὲν H v et Λ (sed ὲ in ras scr vid) οὐδ' ἂν S 12-p 48, 5 οὐδὲν . . . λυμαινόμενον forte per hom om KO 14 κατορθοῦσι v 18 αὐτοὺς v 19 ἀθλητῶν S: ἄθλων ΛH v 20 διαλύοιτο ΛH v: λύοιτο S 22 ἡμῖν S: ἡμῶν ΛH v 23 περιϊδεῖν ΛS: παριδεῖν H v

ἀλλ᾽ ἄγγελόν τινα τῶν τὴν ἀσώματον εἰληχότων φύσιν παρακαθιστᾶν εἰς συμμαχίαν τῇ ἑκάστου ζωῇ, ἐκ δὲ τοῦ ἐναντίου τὸν φθορέα τῆς φύσεως ἀντιμηχανᾶσθαι τὸ ἴσον
340 M. διὰ πονηροῦ τινος καὶ κακοποιοῦ δαίμονος τῇ τοῦ ἀνθρώπου ζωῇ λυμαινόμενον, ἐν μέσῳ δὲ ὄντα τῶν δύο τὸν ἄνθρωπον τὸν ἑκατέρου τῶν παρεπομένων σκοπὸν ὑπεναντίως πρὸς τὸν ἕτερον ἔχοντα δι᾽ ἑαυτοῦ ποιεῖν κατὰ τοῦ ἄλλου ἐπικρατέστερον, προδεικνύοντος τοῖς λογισμοῖς τοῦ μὲν ἀγαθοῦ τὰ τῆς ἀρετῆς ἀγαθὰ ὅσα δι᾽ ἐλπίδος τοῖς κατορθοῦσιν ὁρᾶται, τοῦ δὲ ἑτέρου τὰς ὑλώδεις ἡδονὰς ἀφ᾽ ὧν ἐλπὶς μὲν ἀγαθῶν οὐδεμία, τὸ δὲ παρὸν καὶ μετεχόμενον καὶ ὁρώμενον τὰς αἰσθήσεις τῶν ἀνοήτων ἀνδραποδίζεται. εἴπερ οὖν ἀλλοτριωθείη τις τῶν ἐπὶ κακῷ δελεαζόντων πρὸς τὸ κρεῖττον τοῖς λογισμοῖς ἐπιρρέψας καὶ οἱονεὶ κατὰ νώτου τὴν κακίαν ποιήσειεν, ἀντιπρόσωπον τὴν ἑαυτοῦ ψυχὴν οἷόν τι κάτοπτρον πρὸς τὴν ἐλπίδα τῶν ἀγαθῶν στήσας, ὡς τῆς προδεικνυμένης αὐτῷ θεόθεν ἀρετῆς τὰς εἰκόνας τε καὶ τὰς ἐμφάσεις τῷ καθαρῷ τῆς ἰδίας ψυχῆς ἐντυπῶσαι, τότε αὐτῷ ἡ τοῦ ἀδελφοῦ συμμαχία συναντᾷ καὶ συνίσταται. ἀδελφὸς γὰρ τρόπον τινὰ κατὰ τὸ λογικόν τε καὶ νοερὸν τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὁ ἄγγελος ὁ τότε, καθὼς εἴρηται, φαινόμενός τε καὶ παριστάμενος ὅταν τῷ Φαραὼ προσεγγίζωμεν. μηδεὶς δὲ διόλου τὴν τῆς ἱστορίας ἔκθεσιν παρατεθεῖσθαι τῷ εἱρμῷ τῆς τοιαύτης τοῦ νοῦ θεωρίας οἰόμενος, εἴ πού τι τῶν γεγραμμένων ἔξω ταύτης τῆς διανοίας εὑρίσκοιτο, δι᾽ ἐκείνου καὶ τὸ πᾶν ἀθετείτω· ἀλλ᾽ ἀεὶ μεμνήσθω τοῦ

1 cf Matth 18, 10-11; Hermas Mand 6, 2 (36, 1 Whittaker); Barnabas 9, 4; Clem Alex Eclog 48, 1 (= Apoc Petri)

(**KO**)**ΛSH** 1 τινα ΛH v: om S 4-5 τὴν . . . ζωὴν H 6 τὸν ante ἑκατέρου om H 7 τὸν: τὸ H 8 προδεικνύντος ΛS 9 τοῖς κατορθοῦσι δι᾽ ἐλπίδος S 12 ἀνοήτων: ἀνοητοτέρων v 13 τις om KOSH v 14 ἐπιρρέψας KO: ἐπιτρέψας ΛSH v 15 ἐποίησεν H v 16 κάτοπρον defectuose scr H 18 ἐντυπώσασθαι H v 22 παριστάμενος: περιϊστάμενος Vat 2090 Φαραὼ: θεῷ Λ 23 τὴν om ΛS παρατεθεῖσθαι: παρατιθεὶς H 24 νοῦ: νόμου H οἰόμενος: ζητῶν S νομίζων v 26 ἐκεῖνο H ἀεὶ: ἢ H

σκοποῦ τῶν ἡμετέρων λόγων, πρὸς ὃν βλέποντες ταῦτα διεξερχόμεθα, εὐθὺς ἐν προοιμίοις ὑπειπόντες τῶν εὐδοκίμων ἄνδρων τοὺς βίους εἰς ἀρετῆς ὑπόδειγμα τοῖς ἐφεξῆς προκεῖσθαι.

Ἐπεὶ οὖν δι᾽αὐτῆς τῶν πραγμάτων τῆς ὕλης ἐλθεῖν τοὺς ζηλοῦντας τὰ ἐκείνων οὐχ οἷόν τε (πῶς γὰρ ἂν εὑρεθείη πάλιν ὁ ἐκ μετοικεσίας Αἰγύπτου λαὸς πληθυνόμενος ἢ καὶ πάλιν ὁ καταδουλούμενος τύραννος ὁ πρὸς τὴν ἄρρενα γονὴν δυσμενῶς ἔχων, τὸ δὲ μαλακώτερόν τε καὶ ἀσθενέστερον εἰς πλῆθος αὔξων καὶ τἄλλα πάντα ὅσα περιέχει ὁ λόγος;), ἐπεὶ γοῦν ἀδύνατον ἀπεδείχθη δι᾽ αὐτῶν τῶν πραγμάτων τὰ τῶν μακαρίων μιμήσασθαι θαύματα, μεταληπτέον ἂν εἴη πρός τινα ἠθικὴν διδασκαλίαν ἐκ τῆς ὑλικῆς ἀκολουθίας τὰ ἐνδεχόμενα, δι᾽ ὧν ἄν τις γένοιτο τοῖς πρὸς ἀρετὴν ἐσπουδακόσι πρὸς τὸν τοιοῦτον βίον συνεργία. εἰ δέ τι τῶν ἐν τῇ ἱστορίᾳ γεγονότων ἔξω τοῦ εἱρμοῦ τῆς ἀνηγμένης διανοίας ἡ τῶν πραγμάτων ἀνάγκη πεσεῖν ἐβιάσατο, ὑπερβάντας τοῦτο ὡς πρὸς τὸν ἡμέτερον σκοπὸν ἀλυσιτελὲς καὶ ἀνόνητον, μὴ διακόπτειν ἔξεστι τῆς ἀρετῆς τὴν ὑφήγησιν.

Ταῦτα δέ φημι περὶ τῶν κατὰ τὸν Ἀαρὼν νοηθέντων τὸ ἀντιπῖπτον ἐκ τοῦ ἀκολούθου προθεραπεύων. ἐρεῖ γάρ τις τὸ μὲν συγγενῶς ἔχειν πρὸς τὴν ψυχὴν ἐν τῷ νοητῷ τε καὶ ἀσωμάτῳ τὸν ἄγγελον καὶ τὸ προγενέστερον τῆς

ΚΛΟSH 1 ἡμετέρων om v 2 διεξερχόμεθα ΛSH v et K ante corr ut vid: διερχόμεθα O et post corr K ὑπειπόντες SH: ἐπειπόντες ΚΛΟ v post εὐθὺς autem coll S 3-4 προσκεῖσθαι H 5 δι᾽ αὐτῆς: διὰ H 7 μετοικισίας ex -έας corr H Αἰγύπτου Λ: ἐξ Αἰγύπτου KOS ἐν Αἰγύπτῳ H v ἢ καὶ H: καὶ ΚΛΟS ἢ v 8 ὁ om v 10 ὁ λόγος om KO 11 γοῦν H: οὖν ΚΛΟS v ἐπεδείχθη Λ τῶν om K 12 μεταλεπτὸν ut vid H 15 τὸν om v 16 ἀνηγμένης: ἀνειμένης v 17 ἀνάγκη: τάξις H et Vat 444 om Vat 2090 ἐκβιάσαιτο S 18 ὑπερβάντες Λ ἀλυσιτελὲς: ἀσυντελὲς H 19 ὃν (ὃν) ante μὴ add KH(O) ἐν οἷς ante ἔξεστι add ΚΔΟSH v ἀρετῆς: ἱστορίας S 22 προθεραπευτέον K θεραπεύων v 23 τὸ μὲν συγγενῶς forte ex correctione dogmatica om S

ἡμετέρας εἶναι κατασκευῆς καὶ τὸ συνίστασθαι τοῖς πρὸς τοὺς ἀντιπάλους συμπλεκομένοις μὴ ἀμφιβάλλειν, μὴ μέντοι καλῶς ἔχειν εἰς ἐκείνου τύπον τὸν Ἀαρὼν νοεῖν τὸν τῆς εἰδωλολατρείας τοῖς Ἰσραηλίταις καθηγησάμενον. πρὸς ὃν ἐροῦμεν τὸν εἱρμὸν ὑπερβάντες ταῦτα ἃ εἰρήκαμεν, ὅτι τὸ ἔξω τοῦ σκοποῦ μὴ ἀνατρεπέτω τὴν ἐν τοῖς λοιποῖς **341 M.** ἁρμονίαν καὶ ὅτι ὁμώνυμόν τι χρῆμα καὶ τοῦ ἀδελφοῦ καὶ τοῦ ἀγγέλου ἐστίν, ἴσως ἐφ' ἑκατέρῳ τῶν ἀντικειμένων ταῖς σημασίαις ἐφαρμοζόμενον. οὐ γὰρ δὴ τοῦ θεοῦ μόνον ἀλλὰ καὶ τοῦ Σατανᾶ ἄγγελος ὀνομάζεται· καὶ οὐ τὸν χρηστὸν μόνον ἀλλὰ καὶ τὸν πονηρὸν ἀδελφὸν καλοῦμεν. οὕτω γάρ φησιν ἡ γραφὴ ἐπὶ μὲν τῶν χρηστοτέρων· Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, ἐπὶ δὲ τῶν ἐναντίων ὅτι Πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ. ταῦτα δὲ τῇ ἀκολουθίᾳ παραθέντες τοῦ λόγου καὶ τὴν ἀκριβεστέραν ὑπὲρ αὐτῶν θεωρίαν εἰς τὸν ἴδιον ὑπερθέμενοι τόπον, νῦν τῶν προκειμένων ἑξώμεθα.

Ὁ τοίνυν ἑαυτόν τε τῷ ἐπιφανέντι φωτὶ δυναμώσας καὶ τὸν τοιοῦτον ἀδελφὸν σύμμαχόν τε καὶ παραστάτην κτησάμενος, θαρρῶν τῷ λαῷ τοὺς ὑπὲρ τῆς ἐλευθερίας προσάγει λόγους καὶ τῆς πατρικῆς εὐγενείας ὑπομιμνήσκει καὶ ὅπως ἂν ἔξω γένοιντο τῆς περὶ τὸν πηλὸν καὶ τὴν πλινθείαν ταλαιπωρίας δίδωσι γνώμην. τί οὖν ἡμᾶς διὰ τούτων παιδεύει ἡ

10 II Cor 12, 7 12-13 Prov 17, 17 13-14 Ierem 9, 3 20 sqq Ex 5, 6 sqq; cf Philo De vita Moysis I, 34 sqq

ΚΛΟSΗ 1 εἶναι ΛΗ v: om KOS sed post κατασκευῆς coll H v τοῖς $Λ^2$S v: τοὺς ΚΛΟ 1-2 καὶ τὸ συνίστασθαι . . . ἀντιπάλους om H quorum vice verba καὶ τὸ προγενέστερον τῆς ἡμετέρας iterum scripsit 2 συμλεκομένους Λ (at corr $Λ^2$) 5 φησιν post ὃν add H τὸν εἱρμὸν ὑπερβάντες om KOS τε post ταῦτα add v ἃ om Λ 6 λόγοις post μὴ add v ἀνατρεπτέον C 6-7 τὰς . . . ἁρμονίας Vat 444 7 τὸ ante τοῦ ἀδελφοῦ add $Λ^2$H v καὶ ante τοῦ ἀγγέλου om Λ τὸ ante τοῦ ἀγγέλου add v 8 ἑκατέρου KO ἑκατέρων S 10 Σατὰν H χριστὸν Λ at corr $Λ^2$ 12 τῶν om H 13 ἔστωσαν χρήσιμοι Λ 15 ὑπὲρ: περὶ v 16 τρόπον H ἑξώμεθα: -όμεθα KO ἀψώμεθα H v 17 φωτὶ τῷ ἐπιφανέντι S φωτὶ om Λ 18 τὸν om KO 19 θαρσῶν codd ἐλευθερίας: ἀληθείας forte e correctione ascetica H v 20 ἀναμιμνήσκει KOS 21 γένοιτο H περὶ: παρὰ v πλινθείαν: πλίνθον SH v

ἱστορία; τὸ μὴ δεῖν κατατολμᾶν τῆς ἐν τῷ λαῷ φωνῆς τὸν μὴ διὰ τῆς τοιαύτης ἀγωγῆς πρὸς τὴν τῶν πολλῶν ὁμιλίαν τὸν λόγον παρασκευάσαντα. ὁρᾷς γὰρ ὡς νέος ὢν ἔτι πρὶν εἰς τοσοῦτον αὐξηθῆναι τῇ ἀρετῇ ἐπὶ δύο τινῶν ἀνθρώπων οὐκ ἀξιόπιστος ἐνομίσθη σύμβουλος εἰρήνης γενέσθαι τοῖς στασιάζουσι; νυνὶ δὲ τοσαύταις μυριάσι κατὰ ταὐτὸν διαλέγεται, μονονουχὶ βοώσης σοι τοῦτο τῆς ἱστορίας μὴ ἐπιτολμᾶν ἐν διδασκαλίᾳ τῇ συμβουλῇ τῶν ἀκουόντων, εἰ μὴ διὰ τοιαύτης καὶ τοσαύτης ἐπιμελείας ἡ περὶ τούτου κατορθωθείη σοι δύναμις. ἀλλὰ γενομένων τῶν χρηστοτέρων λόγων καὶ τῆς ἐλευθερίας ὑποδειχθείσης καὶ τῶν ἀκουόντων πρὸς τὴν ἐπιθυμίαν ταύτην ἐπιρρωσθέντων, παροξύνεται ὁ πολέμιος καὶ ἐπιτείνει τὴν ἀλγηδόνα. οὐδὲ τοῦτο ἔξω τῶν νῦν γινομένων ἐστί.

Πολλοὶ γὰρ τῶν παραδεξαμένων τὸν ἐλευθερωτὴν τῆς τυραννίδος λόγον καὶ προστιθεμένων τῷ κηρύγματι μέχρι τοῦ νῦν ταῖς τῶν πειρασμῶν προσβολαῖς ὑπὸ τοῦ ἀντικειμένου ἐπηρεάζονται. ἐξ ὧν πολλοὶ μὲν δοκιμώτεροί τε καὶ βεβαιότεροι περὶ τὴν πίστιν καθίστανται τῇ προσβολῇ τῶν λυπούντων στομούμενοι, τῶν δὲ ἀσθενεστέρων τινὲς καὶ ἐποκλάζουσι τοῖς τοιούτοις συμπτώμασιν ἄντικρυς ἐκεῖνα φθεγγόμενοι τὸ λυσιτελεῖν αὐτοῖς μᾶλλον ἀνηκόοις μεῖναι τοῦ τῆς ἐλευθερίας κηρύγματος ἢ τοῖς τοιούτοις διὰ τὴν αἰτίαν ταύτην συνενεχθῆναι. ὃ δὴ καὶ τότε ἐγένετο ὑπὸ μικροψυχίας τῶν Ἰσραηλιτῶν ἐν αἰτίᾳ ποιουμένων τοὺς τὴν ἀπαλλαγὴν αὐτοῖς τῆς δουλείας ἀναγγείλαντας. ἀλλ' οὐδὲν μᾶλλον ἀνήσει ὁ λόγος

ΚΛΟSH 1 μὴ δεῖν: μηδὲ v 3 ὅρα H ὡς om H 6 νυνὶ: νῦν v ταὐτὸ S 8 τῇ διδασκαλίᾳ H 11 ἐπιδειχθείσης KO (at -ήσης in margine scr O) 13 post ἀλγηδόνα add τοῖς ὑπηκόοις τοῦ λόγου ΛH v 14 γενημένων KO 15 τὴν ante τῆς e dittog add K τῆς om Λ (suprascr Λ²) 16 προτιθέμενοι Λ προσθέμενοι Λ² προστιθέμενοι v 17 προσβολαῖς ΚΛΟ: προβολαῖς SH v 18 μὲν om Λ τε om KOSH v 19-20 τῇ . . . στομούμενοι om KOS προβολῇ H v 20 τοιούτοις om Λ 21 ἐκεῖνο KO 22 ἐλευθερίας: ἀληθείας H 24 ἐγένετο: συνέβαινεν v 25 αἰτίαις S v 26 ἀπαγγείλαντας H v ἀγγείλαντας S ἀνήσει: ὀνήσει KO ὁ λόγος: πρὸς γος (sic) H

πρὸς τὸ καλὸν ἐφελκόμενος, κἂν ὁ παιδικὸς ἀποδειλιάσῃ πρὸς τὰς τῶν πειρασμῶν ἀηθείας καὶ ὁ νήπιος ἔτι καὶ ἀτελὴς τὴν διάνοιαν. τῷ μὲν γὰρ βλαπτικῷ καὶ φθοροποιῷ δαίμονι τοῦτο κατὰ τῶν ἀνθρώπων σπουδάζεται τὸ μὴ εἰς τὸν οὐρανὸν βλέπειν τὸ ὑποχείριον ἀλλὰ τὸ εἰς γῆν κύπτειν καὶ τὸν πηλὸν πλινθεύειν. ὅ τι γὰρ ἂν ᾖ τῆς ὑλικῆς ἀπολαύσεως
344 M. ὡς ἐκ γῆς ἐστι πάντως ἢ ὕδατος παντί που δῆλον, ἤν τέ τι τῶν περὶ γαστέρα καὶ θοίνην σπουδαζομένων ἤν τε καὶ ὅσα περὶ τὸν πλοῦτον ὁρᾶται. ἡ δὲ τῶν στοιχείων τούτων μίξις πηλὸς γίνεται καὶ ὀνομάζεται· οὗ πληροῦντες ἑαυτοὺς οἱ πρὸς τὰς πηλώδεις ἡδονὰς κεχηνότες οὐδέποτε τὴν δεκτικὴν τῶν ἡδονῶν εὐρυχωρίαν πλήρη φυλάττουσιν, ἀλλὰ τὸ ἀεὶ πληρούμενον κενὸν γίνεται πάλιν. οὕτω γὰρ ὁ πλινθουργῶν ἄλλοτε ἄλλον πηλὸν ἀεὶ κενουμένῳ ἐπιβάλλει τῷ τύπῳ, ὅ μοι δοκεῖ τις καὶ πρὸς τὴν ἐπιθυμητικὴν τῆς ψυχῆς βλέπων διάθεσιν, εὐκόλως ἂν νοῆσαι τὸ αἴνιγμα. ὁ γὰρ πληρώσας ἑαυτοῦ τὴν ἐπιθυμίαν ἔν τινι ὧν ἐσπούδασεν, εἰ πρὸς ἕτερόν τι ἡ ἐπιθυμία ῥέψειε, κενός τε καὶ εὐρύχωρος γίνεται. καὶ τοῦτο οὐ παύεται διὰ παντὸς ἐν ἡμῖν ἐνεργούμενον ἕως ἄν τις ὑπεξέλθοι τοῦ ὑλώδους βίου. ἡ δὲ καλάμη καὶ

ΚΛΟSH 1 πρὸς . . . ἐφελκόμενος om KOS ὁ παιδικὸς: παιδικῶς SH v 2 καὶ ante ὁ νήπιος om H v 4 ἐσπουδάζετο H v 5 κύπτειν: βλέπειν H τὸν ὑποχείριον Λ 6 ἐν ἑαυτῷ ante τὸν πηλὸν add v 7 ὡς S: om ΚΛΟΗ v 7-8 ἤν . . . ἤν KOH v: ἄν . . . ἄν S εἰ . . . εἰ Λ εἴτε . . . εἴτε scripsit Daniélou 8 καὶ om KOSH 9 παρὰ τῶν στοιχείων S περὶ τῶν σ. H 10 τε καὶ Λ ἑαυτούς: αὐτοὺς KO 11 πρὸς: περὶ KO οὐδέποτε: οὐδὲ KO 13 γίνεται πάλιν κενὸν v post πάλιν add τῷ ἐπεισρέοντι Λ add τῷ ἐπιρρέοντι v 14 ἄλλοτε: ἄλλων τε Λ at corr Λ² ἄλλον: ἄλλην v 14-15 πηλὸν . . . ψυχῆς om v 16 διάθεσιν om S 17 τὴν ἐπιθυμίαν ἑαυτοῦ Λ 18 ἡ ἐπιθυμία: τῇ ἐπιθυμίᾳ H v ῥέψειε: ῥεύσειε Λ 18-19 κενός τε καὶ εὐρύχωρος γίνεται Λ: κενὸς (ἐκεῖνος H) πρὸς ἐκεῖνο πάλιν εὑρίσκεται KOS(H) κενὸς πρὸς ἐκεῖνο πάλιν εὑρίσκεται. κἂν γένηται τούτῳ πλήρης, τῷ ἑτέρῳ πάλιν κενός τε καὶ εὐρύχωρος γίνεται Q Vat 444 et v at vide ne hic textus ex duabus sit conflatus lectionibus antiquioribus addito membro κἂν . . . πλήρης quasi iunctura 19 ἐν ἡμῖν: ἡμῖν H om S 20 τις om KO ὑπεξέλθῃ O et K (sed -η ex -οι correcta)

τὸ ἐκ ταύτης ἄχυρον ὃ καταμιγνύειν τῇ πλίνθῳ καταναγκάζεται ὁ τοῖς τυραννικοῖς ὑπακούων προστάγμασι· παρά τε τοῦ θείου εὐαγγελίου καὶ παρὰ τῆς ὑψηλῆς τοῦ ἀποστόλου φωνῆς προηρμήνευται, ἀμφοτέρων ὁμοίως πυρὸς ὕλην τό τε ἄχυρον καὶ τὴν καλάμην ἑρμηνευσάντων. ὅταν τοίνυν τις τῶν ἐν ἀρετῇ προεχόντων ἀποσπᾶν ἐθέλοι τοὺς τῇ ἀπάτῃ δεδουλωμένους εἰς βίον ἐμφιλόσοφόν τε καὶ ἐλεύθερον, οἶδεν ὁ ταῖς ποικίλαις, καθώς φησιν ὁ ἀπόστολος, μεθοδείαις κατὰ τῶν ψυχῶν ἡμῶν σοφιστεύων ἀντιπαρεισάγειν τῷ θείῳ νόμῳ τὰ τῆς ἀπάτης σοφίσματα. ταῦτα δὲ λέγω πρὸς τοὺς Αἰγυπτίους δράκοντας βλέπων τῷ λόγῳ, τουτέστι πρὸς τὰς ποικίλας τῆς ἀπάτης κακίας, ὧν τὸν ἀφανισμὸν ἡ τοῦ Μωϋσέως ῥάβδος ἐργάζεται, περὶ ἧς μετρίως ἤδη τὰ εἰκότα προτεθεώρηται. οὗτος τοίνυν ὁ τὴν ἄμαχον ἐκείνην κεκτημένος τῆς ἀρετῆς ῥάβδον τὴν τὰς σεσοφισμένας ἐξαφανίζουσαν ὁδῷ τινι καὶ ἀκολουθίᾳ πρὸς τὰ μείζω πρόεισι τῶν θαυμάτων. ἡ δὲ θαυματοποιΐα οὐ τῷ σκοπῷ τῆς ἐκπλήξεως τῶν ἐντυγχανόντων γίνεται, ἀλλὰ πρὸς τὸ χρήσιμον τῶν σῳζομένων βλέπει. τοῖς γὰρ αὐτοῖς τῆς ἀρετῆς θαύμασι καθαιρεῖται μὲν τὸ πολέμιον, αὔξεται δὲ τὸ ὁμόφυλον. πρῶτον δὲ γενικώτερον τῶν ἐπὶ μέρους θαυμάτων τὸν κατὰ τὴν ἀναγωγὴν καταμάθωμεν σκοπόν· εἶθ' οὕτω δυνατὸν ἂν γένοιτο ἡμῖν καὶ τοῖς καθ' ἕκαστον ἐφαρμόσαι τὸ νόημα.

Ἡ γὰρ διδασκαλία τῆς ἀληθείας πρὸς τὰς διαθέσεις τῶν δεχομένων τὸν λόγον συμμεταβάλλεται. ἐπίσης γὰρ πᾶσι τοῦ λόγου τὸ καλὸν ἢ τὸ κακὸν προδεικνύντος, ὁ μὲν εὐπειθῶς

4-5 Matth 3, 12; I Cor 3, 12-13 8-9 cf Eph 6, 11 et I Cor 12, 10 11 cf Philo De vita Moysis I, 109 18-19 cf II Tim 3, 16

ΚΛΟSH Pap (24 ἡ γὰρ διδασκαλία - p 52, 20 ἐπιστρεφόμενος)
1 καταμιγνύειν: καταμηνύειν Λ (at corr Λ²) 4 προηρμήνευται Λ: προερμηνεύεται H προσερμηνεύεται KOS om v 5 τις τοίνυν S 6 ἐθέλῃ v 7 τε om S 8 φησιν om S 9 ἀντιπαραγαγεῖν v 15 τὰ σεσοφισμένα KO 16 ῥάβδους post ἐξαφανίζουσαν add Λ v πρόσεισι O 21 γενικώτατον H v ἀπὸ μέρους Λ 22 ἀγωγὴν H v μάθωμεν S οὕτως H v δυνατὸν: ἔσχατον H 23 ἡμῖν γένοιτο S ἡμῖν om H τοῖς: τὸ Λ τὸ om Λ 25 συμβάλλεται Λ 26 κακὸν . . . καλὸν v Pap

πρὸς τὸ δεικνύμενον ἔχων ἐν φωτὶ τὴν διάνοιαν ἔχει, τῷ δὲ ἀντιτύπως διακειμένῳ καὶ μὴ καταδεχομένῳ πρὸς τὴν ἀκτῖνα τῆς ἀληθείας τὴν ψυχὴν διαβλέψαι παραμένει τῆς ἀγνοίας ὁ ζόφος. εἰ δὴ τὸ καθόλου νοηθὲν ἡμῖν ἐν τοῖς τοιούτοις ψεῦδος οὐκ ἔστιν, οὐδ' ἂν τὰ καθ' ἕκαστον πάντως ἑτέρως ἔχοι τῆς ἐπὶ μέρους ἐξετάσεως συναποδειχθείσης τῷ ὅλῳ. οὐκοῦν οὐδὲν θαυμαστὸν ἀπαθῆ τὸν Ἑβραῖον μένειν τῶν Αἰγυπτίων κακῶν ἐν μέσοις τοῖς ἀλλοφύλοις ἀναστρεφόμενον, ἐπεὶ καὶ νῦν τὸ ἴσον ἔστι γινόμενον ἰδεῖν. τῶν
345 M. γὰρ ἐν ταῖς πολυανθρώποις πόλεσι πρὸς τὰς ἐναντίας δόξας διεστηκότων, τοῖς μὲν πότιμόν τε καὶ διαφανές ἐστι τὸ νᾶμα τῆς πίστεως ὃ διὰ τῆς θείας διδασκαλίας ἀρύονται· τοῖς δὲ διὰ πονηρᾶς ὑπολήψεως Αἰγυπτιάζουσι διεφθορὸς αἷμα τὸ ὕδωρ γίνεται. καὶ πολλάκις ἐπιχειρεῖ ὁ παρασοφισμὸς τῆς ἀπάτης καὶ τὸ τῶν Ἑβραίων ποτὸν τῷ μολυσμῷ τοῦ ψεύδους αἱματοποιῆσαι, τουτέστι τὸν ἡμέτερον λόγον καὶ ἡμῖν δεῖξαι μὴ τοιοῦτον ὄντα οἷός ἐστιν· ἀλλ' οὐκ ἀχρείωσειε καθόλου τὸ ποτόν κἂν ἐκ τοῦ προχείρου δι' ἀπάτης περιφοινίξῃ τὸ εἶδος. πίνει γὰρ ὁ Ἑβραῖος τὸ ἀληθινὸν ὕδωρ οὐδὲν πρὸς τὸ εἶδος τῆς ἀπάτης ἐπιστρεφόμενος. οὕτω καὶ τὸ τῶν βατράχων γένος εἰδεχθὲς καὶ πολύφωνον ᾧ ἀμφίβιος μὲν ἡ ζωή, ἑρπηστικὸν δὲ τὸ πήδημα, ἀηδὴς δὲ οὐ μόνον ἡ ὄψις, ἀλλὰ καὶ τοῦ χρωτὸς ἡ δυσωδία, ὃ τοῖς οἴκοις καὶ ταῖς κλίναις καὶ τοῖς ταμιείοις τῶν Αἰγυπτίων εἰσέρπει, τῆς δὲ

ΚΛΟSH Pap (usque ad 20 ἐπιστρεφόμενος) 2 καὶ μὴ καταδεχομένῳ om H 3 τῇ ψυχῇ KO 4 εἰ δή: εἰ δὲ S ἤδη KO τὸ om KO 7 ὅλῳ: λόγῳ v Pap 9 γενόμενον ἔστιν ἰδεῖν KO 10 γὰρ om KOSH πολυανθρωπούσαις v 11 διαφανές: διειδές v τὸ ΚΛΟS v Pap: om H 12 τῆς om H 13 διαφθορᾶς v 16 αἱματοποιῆσαι ΛS: αἷμα ποιῆσαι KOH v Pap 17 ἀχρειώσει H ἀχρειώσῃ Pap 19 τῆς ἀρετῆς post ὕδωρ add Λ: om KOSH v Pap 20 κἂν παρὰ τῶν ἐναντίων πιθανῶς διαβάλληται ante οὐδὲν add ΛH v om KOS Pap ἐπιστρεφόμενον Λ 21 τῶν om v in margine τίνες οἱ βάτραχοι KO τὸ post γένος add v 22 ἑρπύστικὸν v μόνη KO 23 δυσωδία: ἀηδία KO ὃ τοῖς: ὅταν H 24 κλίναις: σκηναῖς H ταμείοις ΛH v εἰσέρπῃ H

τῶν Ἑβραίων οὐκ ἐφάπτεται ζωῆς. ἀληθῶς γὰρ βατράχων ἄντικρυς γένη ἐστὶ τὰ φθοροποιὰ τῆς κακίας γεννήματα ἐκ τῆς ῥυπαρᾶς καρδίας τῶν ἀνθρώπων οἷον ἔκ τινος βορβόρου ζωογονούμενα. οὗτοι οἱ βάτραχοι οἰκοῦσι μὲν τὰς οἰκίας τῶν Αἰγυπτιαζόντων κατὰ τὴν τοῦ βίου προαίρεσιν. δείκνυνται δὲ καὶ ἐπὶ τῶν τραπεζῶν καὶ τῶν κλινῶν οὐκ ἀπέχονται καὶ εἰς τὰ ταμιεῖα τῶν ἀποθέτων εἰσδύνουσιν. ὅταν γὰρ ἴδῃς τὸν ῥυπαρόν τε καὶ ἀκόλαστον βίον, ἀληθῶς ἐκ τοῦ πηλοῦ τε καὶ τοῦ βορβόρου τικτόμενον καὶ τῇ πρὸς τὸ ἄλογον μιμήσει κατὰ τὸ εἶδος τῆς ζωῆς ἐν οὐθετέρᾳ φύσει ἀκριβῶς μένοντα, καὶ ἄνθρωπον μὲν κατὰ τὴν φύσιν ὄντα, κτῆνος δὲ διὰ τὸ πάθος γινόμενον, καὶ διὰ τοῦτο τὸ ἀμφίβιον ἐκεῖνο καὶ ἐπαμφοτερίζον τῆς ζωῆς εἶδος ἐπιδεικνύοντα εὑρήσεις καὶ ἐπὶ τούτου τὰ τῆς τοιαύτης νόσου γνωρίσματα, οὐκ ἐπὶ τῆς κλίνης μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς τραπέζης καὶ ἐν τοῖς ταμιείοις καὶ κατὰ πᾶσαν τὴν οἴκησιν. ἐπισημαίνει γὰρ διὰ πάντων ὁ τοιοῦτος τὴν ἀσωτίαν, ὥστε πάντας ῥᾳδίως ἐπιγνῶναι διὰ τῶν κατὰ τὸν οἶκον σπουδαζομένων τὸν βίον τοῦ τε ἀκολάστου καὶ τοῦ καθαρεύοντος. ὅταν ἐν τούτῳ μὲν ἐπὶ τῶν τοῦ τοίχου κονιαμάτων δείκνυται παρὰ τῆς τέχνης διὰ εἰδώλων τινῶν τὰ τῆς ἐμπαθοῦς ἡδονῆς ὑπεκκαύματα, δι' ὧν ὑπομιμνήσκεται τῆς νόσου ἡ φύσις διὰ τῆς ὄψεως ἐκ τῆς ἀτιμίας τῶν θεαμάτων ἐπὶ τὴν ψυχὴν ἐπεισχεομένου τοῦ πάθους, ἐπὶ δὲ τοῦ σωφρονοῦντος φυλακὴν πᾶσαν καὶ

ΚΛΟSH 1 ζωῆς post Ἑβραίων coll ΚΟΗ v   ἐφάπτεται: ἀφίσταται Η   1-2 ἄντικρυς βατράχων Η v   2 ἐστὶ: εἰσὶ Η v   κακίας: καρδίας Κ   4 οὗτοι: οὕτω Λ   5 Αἰγυπτιαζόντων: Αἰγυπτίων ΚΟΗ   τοῦ βίου: τούτων Η   6 τῶν alt om Λ (sed suprascr Λ²)   7 ταμεῖα ΚΟΗ v   ἀποτεθέντων Λ   εἰσδύουσιν Η   8 τοῦ ante πηλοῦ om v   8-9 ἐκ τοῦ ἀληθῶς πηλοῦ ΚΟ   9 τε om ΚΟ   τοῦ ante βορβόρου om ΚΟ   12 τὸ ante πάθος om Η v   διὰ τοῦτο: δι' αὐτοῦ ΚΟ διὰ τούτου S   τὸ ante ἀμφίβιον ΚΟS: om ΛΗ v   13 ἐκείνου S   τὸ ante τῆς ζωῆς Η v   16 ταμείοις ΛΗ v   καὶ om Η   ἐπισημαίνεται Η v   17 πάντας πάντως Η om ΚΟ   20 τοῦ τοίχου: τείχους (om τοῦ) Η v   22 τῆς ὄψεως: τῶν ὄψεων ΚΟSH v   23 θαυμάτων v   ἐπεισχεομένου Η v: ἐπιχεομένου ΚΟ εἰσχεομένου Λ ἐγχεομένου S   24-p 56, 1 φυλακὴ πᾶσα καὶ προμήθεια S

προμήθειαν τοῦ καὶ τὸν ὀφθαλμὸν καθαρεύειν τῶν ἐμπαθῶν θεαμάτων. καὶ ἡ τράπεζα δὲ ὡσαύτως καθαρὰ μὲν τοῖς σωφρονοῦσιν εὑρίσκεται, βατραχώδης δὲ καὶ πολύσαρκος τοῦ πρὸς τὸν βορβορώδη βίον ἰλυσπωμένου. κἂν τὰ ταμιεῖα διερευνήσῃς, τουτέστι τὰ κρυπτὰ τοῦ βίου αὐτοῦ καὶ ἀπόρρητα, πολὺ μᾶλλον ἐν ἐκείνοις σωρείαν βατράχων κατανοήσεις. εἰ δὲ καὶ ταῦτα ἡ τῆς ἀρετῆς ῥάβδος ποιεῖν κατὰ τῶν Αἰγυπτίων ὑπὸ τῆς ἱστορίας λέγεται, μὴ ξενισθῶμεν περὶ τὸν λόγον· καὶ γὰρ ἐσκληρύνθαι, φησί, παρὰ τοῦ θεοῦ τὸν Φαραώ. πῶς οὖν ἂν εἴη κατάκριτος τῇ ἄνωθεν ἀνάγκῃ σκληρῶς τε καὶ ἀντιτύπως διατιθέμενος; καί που τὸ ἴσον φησὶν καὶ ὁ θεῖος ἀπόστολος ὅτι Καθὼς οὐκ ἐδοκίμασαν
348 M. τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας, περὶ τῶν ἀρρενοκοιτούντων λέγων καὶ περὶ τῶν ἐν τοῖς ἀτίμοις τε καὶ ἀρρήτοις τῆς ἀσωτίας τρόποις ἀσχημονούντων. ἀλλ' εἰ καὶ οὕτω λέγεται παρὰ τῆς θείας γραφῆς τὰ εἰρημένα οὕτω τε τῷ πάθει τῆς ἀτιμίας ὁ θεὸς ἔκδοτον δίδωσι τὸν πρὸς τοῦτο φερόμενον, οὔτε ὁ Φαραὼ θείᾳ βουλήσει σκληρύνεται οὔτε ὁ βατραχώδης βίος ὑπὸ τῆς ἀρετῆς πλάσσεται. εἰ γὰρ βουλητὸν ἦν τοῦτο τῇ θείᾳ φύσει, πάντως ἂν ἐπὶ πάντων κατὰ τὸ ἴσον ἡ τοιαύτη προαίρεσις ἴσχυσεν, ὡς μηδεμίαν ἀρετῆς ἢ κακίας παρὰ τὸν βίον διαφορὰν θεωρεῖσθαι. ἄλλων δὲ ἄλλως μετεχόντων

9 sqq Ex 9, 12; cf Rom 9, 17-18 12-14 Rom 1, 28 et 26

ΚΛΟSH Pap (9 ἐσκληρύνθαι - p 55, 14 ἀπώσατο) 2 δὲ om KOSH ἡ post μὲν add v 2-3 τοῦ σωφρονοῦντος v 3 εὑρίσκεται δὲ v 4 ταμεῖα H v 6 post βατράχων add ἐν τοῖς ἀκολάστοις v 7 καὶ om KOSH v 9 ἐσκληρύνθη Λ (sed corr Λ²) φησί hic Pap: om ΚΛΟSH v 10 Φαραώ Pap: τύραννον, ἡ ἱστορία φησί ΚΛΟSH v πῶς ἂν οὖν S ἂν om Λ 11 διαθέμενος SH v καί που τὸ ἴσον om Pap ut vid καὶ ποῦ [S 12 καὶ post φησὶν Λ: om KOSH v Pap θεῖος om ut vid Pap forsan recte καθὼς ΚΛΟH Pap: καθὸν S καθόσον v 14 ἀρρενοφθορούντων ΛSH v 15 τοῖς: ταῖς H 17 οὕτω τε Λ: οὔτε KOSH v 18 ἔκδοτον: ἕκαστον KOH ὁ ante Φαραὼ om H v 20 τοῦτο Λ: om KOSH v 21 κατὰ om S 22 μηδεμίας v ἢ Λ: καὶ KOSH v παρὰ: περὶ Λ 23 δὲ: γε H διαφθορὰν Λ at θ erasam habet

τοῦ βίου καὶ τῶν μὲν δι' ἀρετῆς κατορθουμένων, τῶν δὲ εἰς κακίαν ἀπορρεόντων. οὐκ ἄν τις εὐλόγως ὑπερκειμέναις τισὶν ἀνάγκαις ταῖς κατὰ τὸ θεῖον βούλημα συνισταμέναις τὰς διαφορὰς τῶν βίων λογίσαιτο, ὧν ἡ προαίρεσις ἐφ' ἑκάστου τὸ κράτος ἔχει.

Τίς οὖν παραδίδοται τῷ πάθει τῆς ἀτιμίας σαφῶς ἔστι παρὰ τοῦ ἀποστόλου μαθεῖν· ὁ μὴ δοκιμάσας τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, ὃν οὐκ ἀμυνόμενος ὁ θεὸς διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρ' αὐτοῦ παραδίδωσι τῷ πάθει. ἀλλὰ τὸ μὴ ἐπιγνῶναι τὸν θεὸν αἴτιον αὐτῷ γίνεται τοῦ εἰς τὸν ἐμπαθῆ καὶ ἄτιμον βίον κατασυρῆναι. ὥσπερ γάρ τινος εἰπόντος ὅτι μὴ ὀφθεὶς ὁ ἥλιος τὸν δεῖνα τῷ βόθρῳ ἐνέρριψεν, οὐ τοῦτο λογιζόμεθα ὅτι ὀργῇ χρώμενος ὁ φωστὴρ τὸν μὴ βουληθέντα πρὸς αὐτὸν ἰδεῖν ἐπὶ τὸν βόθρον ἀπώσατο ἀλλ' οὕτως ἂν τὸ ῥηθὲν νοηθείη κατὰ τὸ εὔλογον, ὅτι τὸ μὴ μετέχειν τοῦ φωτὸς αἴτιον τῷ μὴ βλέποντι τὴν εἰς τὸν βόθρον καταπτώσεως. οὕτως εὐαγὲς ἂν εἴη καὶ τὸ τοῦ ἀποστόλου νοεῖν, τὸ τούς μὴ ἐπιγνόντας τὸν θεὸν τοῖς τῆς ἀτιμίας ἐκδίδοσθαι πάθεσι καὶ τὸ ἐσκληρύνθαι παρὰ τοῦ θεοῦ τὸν Αἰγύπτιον τύραννον, οὐχ ὡς τὴν ἀντιτυπίαν ἐν τῇ ψυχῇ τοῦ Φαραὼ τῆς θείας βουλήσεως ἐνθείσης ἀλλ' ὡς τῆς προαιρέσεως διὰ τῆς πρὸς τὴν κακίαν προσκλίσεως τὸν ἐκμαλάσσοντα τὴν ἀντιτυπίαν λόγον μὴ δεχομένης. οὕτως καὶ ἡ τῆς ἀρετῆς ῥάβδος ἐν τοῖς Αἰγυπτίοις φανεῖσα τὸν μὲν Ἑβραῖον καθαρὸν τῆς βατραχώδους ζωῆς ἀπεργάζεται, τὸν δὲ Αἰγύπτιον

7-9 Rom 1, 28 et 26

ΚΛΟSH Pap (p 54, 9 ἐσκλήρυνθαι - p 55, 14 ἀπώσατο et p 55, 20 Φαραὼ - p 56, 1 νόσου fragmentarie) 4 λογίσαιτο ΚΛΟS v Pap: λογίσεται H 9 θεὸν εἶναι post ἐπιγνωσθῆναι add v παραδίδωσι: δίδωσι Vat 2090 Vat 444 δὴ post ἀλλὰ add H v 11 γάρ om KOS εἰ ante τινος add KOSH v ὅτι: μήτι H om KO 12 ἔρριψεν O et (ut vid) H 15 in ras ῥητὸν et ννοηθείη (sic) scr Λ 16 ἐστὶ post βόθρον add ΛH v 17 τὸ om Λ 18 τὸ μὴ τοὺς KO 20 ἐν om S 21 ἐνθείσης ΛSH Pap: ἐνθήσεις KO ἐντιθείσης v 22 προσκλησέως forte itacismo scr ΛH 23 μὴ Pap: οὐ ΚΛΟSH v οὕτως H Pap: οὕτω ΚΛΟS v 25 Αἰγύπτιον Λ Pap et lat: Αἰγύπτιον βίον KOSH v

πλήρη τῆς τοιαύτης δείκνυσι νόσου. ἀλλ᾽ ἔσθ᾽ ὅτε τοῦ Μωϋσέως καὶ ὑπὲρ τούτων τὰς χεῖρας ἐκτείναντος ἀφανισμὸς τῶν βατράχων γίνεται.

Ὃ δὴ καὶ νῦν ἔστι ἰδεῖν γινόμενον. οἱ γὰρ τὴν ἔκτασιν τῶν χειρῶν τοῦ νομοθέτου κατανοήσαντες (συνίεις δὲ πάντως τί σοι λέγει τὸ αἴνιγμα, ὥστε νοῆσαι διὰ μὲν τοῦ νομοθέτου τὸν ἀληθινὸν νομοθέτην, διὰ δὲ τῆς τῶν χειρῶν ἐκτάσεως τὸν ἐπὶ τοῦ σταυροῦ τὰς χεῖρας ἐκτείναντα), οἱ τοίνυν πρὸ ὀλίγου τοῖς ῥυπαροῖς τούτοις καὶ βατραχώδεσι λογισμοῖς συζῶντες, εἰ πρὸς τὸν ὑπὲρ ἡμῶν τὰς χεῖρας ἐκτείναντα ἴδοιεν, ἀπαλλάσσονται τῆς πονηρᾶς αὐτῶν συνοικήσεως, νεκρωθέντος τοῦ πάθους καὶ ἐποζέσαντος. ἀληθῶς γὰρ τοῖς **349** M. ἀπηλλαγμένοις τῆς τοιαύτης νόσου μετὰ τὴν νέκρωσιν τῶν ἑρπηστικῶν κινημάτων ἄτοπός τις καὶ δυσώδης ἡ τῶν προβεβιωμένων γίνεται μνήμη δι᾽ αἰσχύνης τὴν ψυχὴν ἀηδίζουσα, καθώς φησιν ὁ ἀπόστολος πρὸς τοὺς ἐκ τῆς τοῦ κακοῦ μεταβολῆς τὴν ἀρετὴν μετιόντας ὅτι Τίνα οὖν κάρπον εἴχετε τότε ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε; κατὰ τὴν διάνοιαν ταύτην νόει μοι καὶ τὸν ἀέρα διὰ τῆς ῥάβδου, τοῖς μὲν τῶν Αἰγυπτίων ὀφθαλμοῖς μελαινόμενον, ἐπὶ δὲ τῶν Ἑβραίων τῷ ἡλίῳ καταλαμπόμενον.

Δι᾽ οὗ μάλιστα βεβαιοῦται τῆς ἀποδοθείσης διανοίας ὁ λόγος ὅτι οὐκ ἄνωθέν τις ἀναγκαστικὴ δύναμις τὸν μὲν ἐν ζόφῳ, τὸν δὲ ἐν φωτὶ γενέσθαι παρασκευάζει, ἀλλ᾽ οἴκοθεν ἔχομεν ἐν τῇ ἑαυτῶν φύσει τε καὶ προαιρέσει τὰς τοῦ φωτός τε καὶ τοῦ σκότους αἰτίας οἱ ἄνθρωποι, πρὸς ὅπερ ἂν ἐθέλωμεν ἐν τούτῳ γινόμενοι. καὶ γὰρ κατὰ τὴν ἱστορίαν οὐ διά τινος τείχους ἢ ὄρους ἐπιπροσθοῦντος τὰς ὄψεις καὶ τὰς ἀκτῖνας

18 Rom 6, 21

ΚΛΟSH 2 ἐκτείνοντος H 4 ἰδεῖν Λ: om H γνῶναι KOS v 5 συνίεις ΚΛΟSH: συνίης erasum habet Λ συνήσεις v 6 τί: ὅτι v 8 τὰς χεῖρας om K 9 πρὸς ὀλίγον v 12 ἀποζέσαντος v τοῖς om O 14 ἑρπυστικῶν itacismi causa S v 15 βεβιωμένων KO 20 τῶν om S 25 ἐν om KO 26 του ante σκότους om KOSH v 27 ἐν τούτῳ: τούτων v

ἀποσκιάζοντος ὁ τῶν Αἰγυπτίων ὀφθαλμὸς ἐν σκότῳ ἦν· ἀλλ' ἐπίσης πάντα τοῦ ἡλίου καταφωτίζοντος ταῖς ἀκτῖσιν, οἱ μὲν Ἑβραῖοι τοῦ φωτὸς κατετρύφων, οἱ δὲ ἀναισθήτως εἶχον τῆς χάριτος. οὕτω πᾶσι κατὰ τὸ ἴσον τοῦ φωτεινοῦ βίου κατ' ἐξουσίαν προκειμένου οἱ μὲν ἐν σκότει διαπορεύονται διὰ τῶν πονηρῶν ἐπιτηδευμάτων πρὸς τὸν τῆς κακίας ζόφον συνελαυνόμενοι, οἱ δὲ τῷ φωτὶ τῆς ἀρετῆς ἐλλαμπρύνονται. εἰ δὲ μετὰ τὴν τριήμερον ἐν σκότῳ κακοπάθειαν γίνεται καὶ τοῖς Αἰγυπτίοις ἡ τοῦ φωτὸς μετουσία, τάχα τις ἀπὸ τούτων ὁρμώμενος πρὸς τὴν ἀποκατάστασιν τὴν μετὰ ταῦτα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν προσδοκωμένην τῶν ἐν τῇ γεέννῃ καταδεδικασμένων ἀγάγοι τὸ νόημα. καθώς φησιν ἡ ἱστορία, πρὸς γὰρ τὸ ἐξώτερον σκότος τὸ ψηλαφητὸν ἐκεῖνο σκότος πόλλην ἔν τε τῷ ῥήματι καὶ τῷ νοήματι τὴν συγγένειαν ἔχει.

13-14 Matth 8, 12 et alibi; cf Ex 10, 21

ΚΛΟSH 1 ἀποσκευάζοντος v 1-2 ὁ τῶν Αἰγυπτίων . . . ἀκτῖσιν per hom om v 2 ταῖς ἀκτῖσιν καταφωτίζοντος SH ταῖς ἀκτῖσιν om KO 4 οὕτως KOSH φωτεινοῦ: φωτιζομένου S 7-8 supra ἐλλαμπρύνονται scripsit σκέπονται K λαμπρύνονται H 10-14 post ὁρμώμενος loco πρὸς . . . σκότος sequitur πρὸς τὴν ἀπὸ κακίας πρὸς ἀρετὴν δι' ἐπιγνώσεως τοῦ σταυρωθέντος καὶ μετανοίας μετάστασιν τῶν πρὶν κατὰ τὸν βίον Αἰγυπτιαζόντων ἀγάγοι τὸ νόημα. τὸ γὰρ ψηλαφητὸν ἐκεῖνο σκότος, καθώς φησιν ἡ ἱστορία, πρὸς τὸ τῆς ἀγνοίας καὶ ἁμαρτίας σκότος iam sic doctrinam de apocatastasi evitans scr Q, quem secuti sunt codices qui de Q pendent et v, primigenium vero textum iam inter eos numerari videtur, quos suspicatus est saec VIII Germanus Constantinopolitanus laudatus apud Photium, *Bibl* PG 103.1105 AB: in margine vero tantum ὅρα hic notat Λ manu recentiori, at demum in margine iuxta textum authenticum de apocatastasi scribit οὐ τοῦ ἁγίου τοῦτό ἐστιν ἀλλὰ νόθον καὶ κιβδηλόν, διὸ οὐ δεκτέον Vat 444 11 τῇ ἐν τῇ βασιλείᾳ Λ: τῇ βασιλείᾳ OSH 12-14 καθὼς . . . τῷ ῥήματι ΚΛΟS: τὸ γὰρ ψηλαφητὸν ἐκεῖνο σκότος, καθώς φησιν ἡ ἱστορία, πρὸς τὸ ἐξώτερον σκότος πολλὴν ἐν ἑκάστῳ ῥήματι H quoad lectionem purgatam Q codd et v videsis supra (ad 12) 13 πρὸς γὰρ Λ: γὰρ hic om KOS τὸ γὰρ ψηλαφητὸν ΚΛΟS sed γὰρ expunxit Λ manu prima ac recte siquidem hocce γὰρ alteri verborum ordini potius correspondet 14 ἔν τε τῷ ῥήματι ΚΛΟS v: ἐν ἑκάστῳ ῥήματι H νοήματι: ὀνόματι KOH

Λύεται δὲ τούτων ἑκάτερον τοῦ Μωϋσέως, καθὼς καὶ ἐν τῷ πρὸ τούτου νενόηται, ὑπὲρ τῶν ἐν τῷ σκότῳ τὰς χεῖρας ἐκτείναντος. ὡσαύτως καὶ ἡ καμινιαία κόνις ἐκείνη, ἡ τὰς ὀδυνηρὰς φλυκτίδας τοῖς Αἰγυπτίοις ἐπάγουσα κατὰ λόγον ἂν νοηθείη διὰ τοῦ κατὰ τὸ ὄνομα τοῦ τῆς καμίνου αἰνίγματος, ἡ διὰ τοῦ πυρὸς κατὰ τὴν γέενναν ἀπειληθεῖσα κόλασις, ἣ μόνων ἅπτεται τῶν Αἰγυπτιαζόντων κατὰ τὸν βίον. εἰ δέ τις ἀληθῶς Ἰσραηλίτης ἐστὶ καὶ τοῦ Ἀβραὰμ υἱὸς καὶ πρὸς ἐκεῖνον τῷ βίῳ βλέπει ὡς δεῖξαι τῇ προαιρέσει τὴν πρὸς τοὺς ἐκλεκτοὺς ἀγχιστείαν τοῦ γένους, οὗτος ἀπαθὴς φυλάσσεται τῆς καμινιαίας ἐκείνης ὀδύνης. γένοιτο δ' ἂν κἀκείνοις ποτὲ ἡ ἀποδοθεῖσα τῆς ἐκτάσεως τῶν Μωϋσέως χειρῶν ἑρμηνεία, θεραπεία τῆς ὀδύνης καὶ ἀπαλλαγὴ τῶν κολάσεων. τοὺς δὲ λεπτοὺς σκνῖπας ἐκείνους, οἳ τοῖς ἀφανέσι δήγμασι τοὺς Αἰγυπτίους ἀλγύνουσι, τήν τε κυνόμυιαν ὀδυνηρῶς διὰ τοῦ δήγματος ἐμφυομένην τοῖς σώμασι, τήν τε ὑπὸ τῶν ἀκρίδων καταφθειρομένην γεωπονίαν καὶ τοὺς ἄνωθεν πρηστῆρας τοὺς τοῖς τῆς χαλάζης λίθοις συγκαταπίπτοντας, οὐκ ἄν τις τῷ εἱρμῷ τῶν προεξητασμένων ἑπόμενος κάμνοι τὰ καθ' ἕκαστον προσαρμόζων τοῖς καταλλήλοις νοήμασιν, ἅπερ πάντα ποιεῖ μὲν κατὰ τὸ προηγούμενον ἡ Αἰγυπτία προαίρεσις, ἐπάγει δὲ ἡ ἀδέκαστος τοῦ θεοῦ δίκη ἐπακολουθοῦσα κατ' ἀξίαν ταῖς προαιρέσεσι.

3 Ex 9, 8; cf Matth 13, 42

ΚΛΟSH 1 τούτων: τοὺς H καὶ post καθὼς om KOSH v 2 τῶν: τοῦ KO τῷ alt om KOS σκότει v 2-3 ἐν . . . ἐκτείναντος om Λ 3 καμιναία v 4 φλυκτίδας: φλυκταίνας v 5 διὰ τοῦτο H τοῦ post ὄνομα om S v 6 ἣ: ἥτις S 7 μόνων: μόνον v κατὰ τὸν βίον Αἰγυπτιαζόντων KO post βίον add τοῦτ' ἔστιν καθὼς πολλάκις εἴπαμεν, τῶν κακῶς ζώντων καὶ τὴν ἔκτασιν τῶν χειρῶν τοῦ Χριστοῦ μὴ προσκυνούντων in margine Hoeschelius quod in textum traduxit Ducaeus et v 8 υἱός: τέκνον Vat 2090 Vat 444 10 ἀπαθὴς om v ἀβλαβὴς Λ 11 ἀπὸ ante τῆς add v καμιναίας Λ (at corr Λ[2]) 12 τῶν χ. τοῦ Μωσέως (sic) v τῶν: τοῦ H 14 λεπτούς: λοιπούς Λ 15 κυνομύαν H 17 καὶ τούς: τούς τε H τοὺς ante τοῖς om KOSH v 19 προεξισταμένων H 21 παρηγούμενον H προαίρεσις: διάθεσις KO 22 κατ' ἀξίαν: κατὰ τάξιν KO 22-p 61, 1 ἐπακολουθοῦσα . . . ἱστορίας per hom om v

Μὴ γὰρ δὴ τοῦτο τῇ προχείρῳ λέξει τῆς ἱστορίας ἐπακολουθέντες νοήσωμεν ὅτι παρὰ θεοῦ γίνεται τὰ λυπηρὰ τοῖς τῶν τοιούτων ἀξίοις, ἀλλ' ὅτι ἕκαστος ἑαυτῷ τῶν πληγῶν 352 M. γίνεται δημιουργὸς διὰ τῆς οἰκείας προαιρέσεως τὴν τῶν ἀλγεινῶν παρασκευὴν ἑτοιμάζων, καθώς φησιν ὁ ἀπόστολος πρὸς τὸν τοιοῦτον λέγων ὅτι Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ὥσπερ γὰρ ἐκ τῆς ἀτακτοτέρας διαίτης φθοροποιός τις χυμὸς καὶ χολώδης ἐν τοῖς σπλάγχνοις συνίσταται, ὃν ὁ ἰατρὸς εἰς ἔμετον διὰ τῆς τέχνης ἐφελκυσάμενος οὐκ ἂν ἐν αἰτίᾳ γένοιτο τοῦ αὐτὸν ἐμποιῆσαι τοῖς σώμασι τὸν νοσώδη χυμόν, ἀλλ' ἐποίησε μὲν ἡ τῆς τροφῆς ἀταξία, εἰς δὲ τὸ ἐμφανὲς ἤγαγεν ἡ ἰατρικὴ ἐπιστήμη, οὕτως κἂν παρὰ τοῦ θεοῦ γίνεσθαι λέγοιτο τοῖς μοχθηροῖς τὴν προαίρεσιν ἡ ἀλγεινὴ ἀνταπόδοσις, εὔλογον ἂν εἴη νοεῖν ἐξ ἡμῶν αὐτῶν τὰς ἀρχὰς καὶ τὰς αἰτίας τὰ τοιαῦτα λαμβάνειν πάθη. τῷ γὰρ ἀναμαρτήτως βεβιωκότι οὐ σκότος ἐστίν, οὐ σκώληξ, οὐ γέεννα, οὐ πῦρ, οὐκ ἄλλο τι τῶν φοβερῶν ὀνομάτων τε καὶ πραγμάτων, ὡς δὴ καὶ ἡ ἱστορία φησὶ τοῖς Ἑβραίοις μὴ εἶναι τὰς Αἰγυπτίας πληγάς. εἰ οὖν ἐν τῷ αὐτῷ τόπῳ τῷ μὲν ἔστι κακόν, τῷ δὲ οὐκ ἔστι, τῆς κατὰ προαίρεσιν διαφορᾶς ἐν τοῖς καταλλήλοις δεικνυούσης ἑκάτερον, δῆλον ἂν εἴη τὸ μηδὲν τῶν κακῶν δίχα τῆς ἡμετέρας προαιρέσεως δύνασθαι συστῆναι.

6-9 Rom 2, 5

ΚΛΟSH Pap (9 καὶ ὥσπερ ἐκ - 11 συνίσταται et 24 μηδὲν - 25 συστῆναι) 3 ὅτι om S τῶν om KO 7 ἑαυτῷ Λ 8 καὶ ante δικαιοκρισίας om K 9 ὥσπερ γάρ: καὶ ὥσπερ Pap τις post γὰρ coll H ἐκ ΚΛΟ Pap: διὰ SH v 11 ὁ om Λ διὰ τῆς τέχνης εἰς ἔμετον v διὰ om Λ εἰς ἔμετον post ἐφελκυσάμενος transp H 12 αὐτὸν ΚΛΟ: αὐτὸς SH v 13 τῷ σώματι KOSH v τοῖς σώμασιν post χυμόν coll Λ 15 οὕτω καὶ ἂν Λ τοῦ om H λέγοιτο: λέγηται KOSH v 17 τὰ om Λ at suprascr Λ^2 20 τε om S τε . . . πραγμάτων forte hom causa om H 22 τόπῳ om v τῷ μέν . . . τῷ δὲ: τὸ μὲν . . . τὸ δὲ S ἐστι: εἰς v τὸ ante κακόν add Λ κατὰ προαίρεσιν H: τῶν προαιρέσεων ΚΛΟS v 25 δύνασθαι: δύναται H

Ἀλλὰ πρὸς τὰ ἑξῆς τοῦ λόγου προΐωμεν τοσοῦτον παιδευθέντες διὰ τῶν ἐξητασμένων ὅτι Μωϋσῆς τε ἐκεῖνος καὶ ὁ κατ' ἐκεῖνον διὰ τῆς ἀρετῆς ἑαυτὸν ἐπαίρων, ἐπὰν διά τε τῆς χρονίας προσοχῆς τοῦ ὀρθίου τε καὶ ὑψηλοῦ βίου καὶ διὰ τῆς ἄνωθεν γινομένης φωταγωγίας δυναμωθῇ τὴν ψυχήν, ζημίαν ἡγεῖται τὸ μὴ καὶ τοῖς ὁμογενέσι πρὸς τὸν ἐλεύθερον καθηγήσασθαι βίον. καὶ πρὸς αὐτοὺς γενόμενος τῇ παραθέσει τῶν χειρόνων παθῶν σφοδροτέραν αὐτοῖς τῆς ἐλευθερίας τὴν ἐπιθυμίαν ἐπιτίθησι. καὶ μέλλων ἐξαιρεῖσθαι τοῦ κακοῦ τὸ ὁμόφυλον, θάνατον ἐπάγει πάντι πρωτοτόκῳ Αἰγύπτου, τοῦτο δι' ὧν ἐποίησεν ἡμῖν νομοθετῶν τὸ δεῖν τὴν πρώτην τοῦ κακοῦ γένεσιν ἐξαφανίζειν· μὴ γὰρ ἄλλως εἶναι δυνατὸν διαφυγεῖν τὸν Αἰγύπτιον βίον. καί μοι καλῶς ἔχειν δοκεῖ τὴν διάνοιαν ταύτην μὴ παραδραμεῖν ἀθεώρητον. εἰ γάρ τις μόνον εἰς τὴν ἱστορίαν βλέποι, πῶς ἡ θεοπρεπὴς ἔννοια τοῖς γεγενῆσθαι λεγομένοις διασωθήσεται; ἀδικεῖ ὁ Αἰγύπτιος καὶ ἀντ' ἐκείνου κολάζεται τὸ ἀρτιγενὲς αὐτοῦ νήπιον, ᾧ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς οὐδεμία τίς ἐστι καλοῦ τε καὶ μὴ τοιούτου διάκρισις· ἔξω τοῦ κατὰ κακίαν πάθους ἡ ζωὴ αὐτοῦ. οὐ γὰρ χωρεῖ τὸ πάθος ἡ νηπιότης· δεξιᾶς καὶ ἀριστερᾶς διαφορὰν οὐκ ἐπίσταται· πρὸς μόνην ἀποβλέπει τὴν θηλὴν καὶ μίαν σημασίαν ἔχει τοῦ λυποῦντος τὸ δάκρυον, καὶ εἰ τύχοι τινὸς οὗ ἡ φύσις ἐφίεται, μειδιάματι τὴν ἡδονὴν ἐπεσήμηνεν. τοῦτο τῆς πατρικῆς κακίας ἐκτιννύει τὴν δίκην; ποῦ τὸ δίκαιον; ποῦ τὸ εὐσεβές; ποῦ τὸ ὅσιον; ποῦ

18-19 cf Demosth De Cor 128

ΚΛΟSH 1 τὰ: τὸ H v 2 τε om H 3 ἐπὰν: ἐπειδὰν Λ v 4 ὀρθίου: ὀρείου ΛH 5 γινομένης om H 6 καὶ om Λ ὁμοιογενέσι K 9 ἐντίθησι τὴν ἐπιθυμίαν H 10 πρωτοτόκῳ: τῷ τόκῳ H Αἰγύπτου KOH: Αἰγυπτίων Λ Αἰγυπτίῳ S v 12 γέννησιν S 12-13 μὴ . . . διαφυγεῖν ΛH v: om KOS 13-14 δοκεῖ καλῶς ἔχειν ΚΛΟS v 18 τὸ om Λ 20 ἐχώρει S καὶ: ἢ H v 21 οὐκ ἐπίσταται διαφοράν S ἀναβλέπει S v 22 καὶ om SH v τοῦ λυποῦντος σημασίαν ἔχει (ἔχει σημασίαν H) τὸ δάκρυον S (H) τοῦ λυποῦντος σημαντικὴν αἴσθησιν ἔχει τὸ δάκρυον v 24 ἐπεσήμηνεν Λ: ἐπεσήμανε S H v ἐπισημαίνειν (ubi forte -ν omitti debet) KO ὑπεσήμαινε C Vat 444 ἐκτιννύει S: ἐκτίνει $Λ^2$O v ἐκτείνει ΚΛH

Ἰεζεκιὴλ βοῶν ὅτι Ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, καὶ ὅτι Οὐ λήψεται τὴν τοῦ πατρὸς ἁμαρτίαν ὁ ἐξ ἐκείνου γεννώμενος;

Πῶς ἀντινομοθετεῖ ἡ ἱστορία τῷ λόγῳ; οὔκουν εὐλογώτερον ἂν εἴη πρὸς τὴν ἀναγωγὴν τοῦ νοήματος ὁρῶντας, εἰ
353 M. εἴς τι γέγονε τυπικῶς, δόγμα διὰ τῶν γενομένων πιστεύειν τὸν νομοθέτην ἐκτίθεσθαι; τὸ δὲ δόγμα τοιοῦτόν ἐστι τὸ δεῖν πρὸς τὴν κακίαν τινὰ δι' ἀρετῆς συμπλεκόμενον τὰς πρώτας τῶν κακῶν ἀρχὰς εἰς ἀφανισμὸν ἄγειν. τῇ γὰρ ἀναιρέσει τῆς ἀρχῆς καὶ τὸ μετ' ἐκείνην συναφανίζεται, καθὼς διδάσκει διὰ τοῦ εὐαγγελίου ὁ κύριος, μονονουχὶ διαρρήδην βοῶν ἀναιρεῖν τῶν Αἰγυπτίων κακῶν τὰ πρωτότοκα, δι' ὧν κελεύει τὴν ἐπιθυμίαν ἀνελόντας καὶ τὴν ὀργὴν μηκέτι δεδοικέναι μήτε τῆς μοιχείας τὸ μίασμα μήτε τοῦ φόνου τὸ ἄγος. οὐ γὰρ ἂν ἐφ' ἑαυτοῦ συσταίη τούτων ἑκάτερον εἰ μὴ φόνον μὲν ἡ ὀργή, μοιχείαν δὲ ἡ ἐπιθυμία τελεσφορήσειεν. ἐπεὶ οὖν ὁ εἰς κακίαν τεκνογονῶν πρὸ τῆς μοιχείας τίκτει τὴν ἐπιθυμίαν ἢ τὴν ὀργὴν πρὸ τοῦ φόνου, ὁ ἀνελὼν τὸ πρωτότοκον συνανεῖλε πάντως καὶ τὴν ἀκολουθοῦσαν τῷ πρωτοτόκῳ γονὴν ὥσπερ καὶ ἐπὶ τοῦ ὄφεως ὁ τὴν κεφαλὴν πλήξας ὅλον συναπενέκρωσε τὸν κατόπιν ὁλκὸν ὃν ἐφέλκεται. τοῦτο δὲ οὐκ ἂν γένοιτο μὴ προσχυθέντος ταῖς εἰσόδοις ἡμῶν ἐκείνου τοῦ αἵματος ὃ τὸν ὀλοθρευτὴν ἀποστρέφει.

Καὶ εἰ χρὴ τὴν ἀποδοθεῖσαν διάνοιαν ἀκριβέστερον ἐν τοῖς εἰρημένοις κατανοῆσαι, τοῦτο δι' ἑκατέρων δίδωσιν

1-3 Ezech 18, 20   12-14 Matth 5, 22 et 27   22-23 et Ex 12, 23

ΚΛΟSH 1 Ἰεζεχιὴλ v   ἡ ψυχὴ ΚΟ   3 γεννώμενος: γενόμενος ΚΟΗ   4 ad ἀντινομοθετεῖ scr η pro ει in marg O manu altera   οὐκοῦν v   post οὐκοῦν add οὐκ v   εὐλογώτερον Λ v: εὐκολώτερον ΚΟSH   5 τὴν τοῦ ν. ἀναγωγὴν S   6 εἴς τι $Λ^2$ (εἰς τί Λ): καί τι ΚΟSH v   γενομένων: γινομένων S λεγομένων ΚΛΟ   7 τοιοῦτόν: τοῦτό ΚΟSH   8 τινὰ: εἶναι H   9 ἀρχὰς om H   ἄγειν: ἔχειν v   10 διδάσκει post εὐαγγελίου (11) coll S   11 μόνον οὐχὶ ΚΟSH v   15 ἐφ': ἀφ' Λ   ἑαυτὸ S   18 ἢ Λ: καὶ ΚΟSH v   τὸ: τὸν H v   22 προσχυθέντος S: προσχεθέντος ΚΛΟ   προχεθέντος H v   ἡμῶν ταῖς εἰσόδοις H v

ἡ ἱστορία νοεῖν ἔκ τε τοῦ ἀνελεῖν τὸ πρωτότοκον καὶ ἐκ τοῦ διὰ τοῦ αἵματος κατασφαλισθῆναι τὴν εἴσοδον. ἐκεῖ τε γὰρ ἡ πρώτη ὁρμὴ τοῦ κακοῦ ἀφανίζεται καὶ ἐνταῦθα ἡ πρώτη τῆς κακίας εἴσοδος καθ' ἡμῶν διὰ τοῦ ἀληθινοῦ ἀμνοῦ ἀποστρέφεται. οὐ γὰρ ἐντὸς γενόμενον τὸν ὀλοθρευτὴν δι' ἐπινοίας ἐκβάλλομεν, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχὴν ἡμῖν παραδύῃ φυλακὴν διὰ τοῦ νόμου ποιούμεθα. φυλακὴ δέ ἐστι καὶ ἀσφάλεια τὸ τῷ αἵματι τοῦ ἀμνοῦ τήν τε φλιὰν καὶ τοὺς σταθμοὺς τῆς εἰσόδου κατασημήνασθαι. ταῦτα περὶ ψυχῆς ἡμῖν φυσιολογοῦντος δι' αἰνιγμάτων τοῦ λόγου καὶ ἡ ἔξωθεν παίδευσις ἐφαντάσθη διαιροῦσα τὴν ψυχὴν εἴς τε λογιστικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδές. ἐκ τούτων δὲ θυμὸν μὲν καὶ ἐπιθυμίαν ὑποβεβηκέναι, φησίν, ἑκατέρωθεν τὸ διανοητικὸν τῆς ψυχῆς ὑπερείδοντας, τὸν δὲ λογισμὸν ἀμφοτέροις ἐπεζευγμένον συνέχειν τε αὐτοὺς καὶ ὑπ' ἐκείνων ἀνέχεσθαι, πρὸς μὲν ἀνδρείαν τῷ θύμῳ στομούμενον, πρὸς δὲ τὴν τοῦ ἀγαθοῦ μετουσίαν δι' ἐπιθυμίας ὑψούμενον. ἕως ἂν οὖν ἡ ψυχὴ τῷ σχήματι τούτῳ κατησφαλισμένη τύχῃ καθάπερ τισὶ γόμφοις τοῖς κατ' ἀρετὴν νοήμασι τὸ βέβαιον ἔχουσα, ἐν πᾶσι δι' ἀλλήλων γίνεται πρὸς τὸ καλὸν ἡ συνεργία,

8-9 Ex 12, 22   9 sqq Plato Resp 439d sqq et Phaedr 246b sqq; cf Philo Quaest Ex I, 12

ΚΛΟSH Pap (13 [ἑκατέ]ρωθεν - 20 γί[νεται]) 1 τὰ πρωτότοκα v τὸν πρωτότοκον H   2 τοῦ om H v   5 ἐπιστρέφεται v   6 ἐκβάλομεν O et Λ (at corr forte manu eadem) ἐκβάλλωμεν H   μήτε S   7 ἡμῶν H   παραδύσῃ SH παρεισδύσῃ v   9 κατασημάνασθαι S   10 ὁ post λόγου add v   11 τὴν τε Λ   hic τὸ τριμερὲς τῆς ψυχῆς· τὸ λογιστικόν, τὸ θυμοειδές, τὸ ἐπιθυμητικόν ut lemma O et in margine K   εἴς τε Λ: εἴς τε τὸ KO εἰς τὸ SH v   12 λογιστικὸν: λογικὴν S   ἐκ τούτων Λ: τούτων S τούτον KO (= τούτων ut vid) τούτοις H v   13 θυμὸν μὲν Λ et lat: om KOSH v   τὴν ante ἐπιθυμίαν add KOSH v   ἐπιβεβηκέναι KOS   φησίν ΛH: φασίν KOS v   14 ὑπερείδοντας Λ: ὑπερείδοντα perperam corr Λ² ὑπερείδουσαν KOSH v et (-ίδουσαν) Pap   15 αὐτοὺς: αὐτὰ S   ὑπὸ ἐκείνων v   17 τὴν om S   18 ἂν om Pap   τύχῃ ΚΛΟΗ v Pap: τύχοι S   20 πάσῃ v   τῇ ante πρὸς (. . . συνεργίᾳ) v hic ἡ coni Daniélou   τὸ καλὸν ΛSH v: τι καλὸν KO   ἡ συνεργία Λ: συνεργία S συνεργίᾳ v συνεργίαν KOH

παρέχοντος ἤδη δι' ἑαυτοῦ τοῖς ὑποβεβηκόσι τοῦ λογισμοῦ τὴν ἀσφάλειαν καὶ ἐν τῷ μέρει παρ' ἐκείνων τὴν ἴσην χάριν ἀντιλαμβάνοντος. εἰ δὲ ἀναστραφείη τὸ σχῆμα καὶ τὰ ἄνω γένοιτο κάτω, ὥστε κατὰ τὸ πατούμενον μέρος τὸν λογισμὸν πεσόντα ἄνω ἑαυτοῦ ποιῆσαι τὴν ἐπιθυμητικήν τε καὶ θυμώδη διάθεσιν, τότε καὶ ὁ ὀλοθρευτὴς εἰς τὰ ἐντὸς παραδυέται μηδεμιᾶς τῆς ἐκ τοῦ αἵματος ἀντιπαθείας ἀντιβαινούσης αὐτῷ πρὸς τὴν εἴσοδον, τουτέστι τοῖς οὕτω διακειμένοις τῆς εἰς Χριστὸν πίστεως μὴ συμμαχούσης. τῷ γὰρ αἵματι πρῶτον ἐπαλείφειν κελεύει τὴν ἄνω φλιὰν εἶθ' οὕτως ἐπιθιγγάνειν τῶν σταθμῶν ἑκατέρωθεν. πῶς ἂν οὖν τις ἐπαλείψειε
356 M. τὸ ἄνω πρῶτον τὸ μὴ εὑρισκόμενον ἄνω; ἣν δὲ καὶ μὴ τὰ δύο τοῖς Ἰσραηλίταις γεγένηται, ἥ τε τῶν πρωτοτόκων ἀναίρεσις καὶ ἡ τοῦ αἵματος πρόσχυσις, μὴ θαυμάσῃς μηδέν, μηδὲ διὰ τοῦτο τὴν ἀποδοθεῖσαν περὶ τῆς ἀναιρέσεως τοῦ κακοῦ θεωρίαν ἀποβάλῃς ὡς ἔξω τῆς ἀληθείας παρευρημένην. νῦν γὰρ τῇ διαφορᾷ τῶν ὀνομάτων, τοῦ Ἰσραηλιτικοῦ τε καὶ τοῦ Αἰγυπτίου, τὸ τῆς ἀρετῆς πρὸς τὴν κακίαν διάφορον ἐνοήσαμεν. εἰ οὖν Ἰσραηλιτικὸν τὸ ἐνάρετον ἡ ἀναγωγὴ νοεῖν ὑποτίθεται, οὐκ ἂν εὐλόγως τῶν τῆς ἀρετῆς γεννημάτων τὰς ἀπαρχάς τις ἐπιζητοίη καταφονεύεσθαι, ἀλλ' ἐκεῖνα ὧν ὁ ἀφανισμὸς τῆς ἀνατροφῆς ἐστι λυσιτελέστερος.

Οὐκοῦν ἀκολούθως τῆς Αἰγυπτίας γονῆς τὰς ἀπαρχὰς δεῖν ἀναιρεῖσθαι παρὰ τοῦ λόγου μεμαθήκαμεν, ὡς ἂν ἐπιλείποι τὸ κακὸν τῷ τῆς ἀρχῆς ὀλέθρῳ συνδαπανώμενον,

ΚΛΟSH 2 χάριν om KOS   3 ἀνατραπείη KO   4 γένηται S   5 θυμοειδῆ Λ   6 καὶ post τότε om SH v   ὀλοθρεύων v   7 τῆς om H   9 μὴ: οὐ Vat 2090 om v   11 ἐπαλήφειν H   12 ἣν δὲ καὶ H ἣν καὶ KO εἰ δὲ καὶ v εἰ δὲ ΛS   13 γεγένηνται H   15 μηδὲ: μήτε Λ v   ἀποδοθεῖσαν Λ v: ἀπόδοσιν τὴν KOSH   16 θεωρίαν Λ v: θεωρίας H om KOS   παρευρημένης S   17 Ἰσραηλίτου Λ   18 τοῦ om Λ   19 τὸ Ἰσραηλιτικὸν KOS τὸν ἐνάρετον v   20 γεννημάτων Λ v: ὀνομάτων KOH   νοημάτων S   21 ἀπαρχάς: ἀρχάς H v   ἐπιζητοίη τις H v   22 ἀναστροφῆς H   23 γονῆς: κακίας KO   ἀπαρχὰς ΛS: ἀρχὰς KOH v   24 λόγου KO: θεοῦ ΛSH v   25 ἐπιλίποι SH v   τῷ . . . ὀλέθρῳ: τῇ . . . ἀναιρέσει KO

καὶ συμβαίνει τῇ ἱστορίᾳ τὸ νόημα. τῶν μὲν γὰρ Ἰσραηλιτικῶν γεννημάτων διὰ τῆς τοῦ αἵματος προσχύσεως γίνεται ἡ φρουρά, ὅπως ἂν εἰς τελείωσιν τὸ ἀγαθὸν ἔλθοι, ὅπερ δὲ τελειωθὲν εἰς Αἰγύπτιον συνετέλει δῆμον, τοῦτο πρὸ τῆς ἐν τῷ κακῷ τελειώσεως ἠφανίσθη. συνεργεῖ δὲ πρὸς τὴν προκειμένην ἡμῖν ἀναγωγὴν τοῦ νοήματος καὶ τὰ ἐφεξῆς συμπαραλαμβανόμενα τῇ θεωρίᾳ τοῦ λόγου. βούλεται γὰρ τροφὴν ἡμῶν γίνεσθαι τὸ σῶμα, ὅθεν ἀπερρύη τὸ αἷμα ὃ χωρίζει τοῦ ὀλοθρευτοῦ τῶν Αἰγυπτίων ἐπὶ τῶν εἰσόδων δεικνύμενον. τό τε σχῆμα τῶν τὴν τροφὴν ταύτην προσφερομένων σύντονόν τε καὶ κατεσπουδασμένον εἶναι, οὐχ οἷον ἐπὶ τῶν εὐπαθούντων ἐν συμποσίοις ὁρᾶται, ὧν ἄνετοι μὲν αἱ χεῖρες, ἐλαφραὶ δὲ αἱ τῶν ἱματίων ἐπιβολαί, τῆς τε ὁδοιπορικῆς παρασκευῆς οἱ πόδες ἐλεύθεροι. ἀλλ᾽ ἐκ τοῦ ἐναντίου τὰ πάντα· πόδες μὲν διειλημμένοι τοῖς ὑποδήμασι, ζώνη δὲ τὸ περιρρέον τοῦ χιτῶνος τῇ ἰξύϊ συσφίγγουσα, διὰ χειρὸς δὲ ἡ ἀμυντικὴ τῶν κυνῶν βακτηρία. καὶ ἐν τούτῳ τῷ σχήματι προτίθεται αὐτοῖς ἡ βρῶσις ἄνευ τινὸς ὀψαρτυτικῆς καρυκείας ἐπὶ πυρὸς κατὰ τὸ συμβὰν ἐκ τοῦ παρατυχόντος σχεδιασθεῖσα, ἣν κατὰ πᾶσαν ἔπειξιν ἁρπαλέως οἱ δαιτύμονες καταναλίσκουσι μέχρις οὗ ἅπαν δαπανηθείη τοῦ ζῴου τὸ σῶμα. καὶ τῶν ὀστέων περιεσθίοντες ὅσον ἐδώδιμον τοῦ ἐντὸς οὐ προσάπτονται. τὸ γὰρ συντρίβειν τοῦ ζῴου τούτου τὰ ὀστᾶ τῶν ἀπειρημένων ἐστίν, ὅ τι δ᾽ ἂν ὑπολειφθείη τῆς βρώσεως τῷ πυρὶ δαπανᾶται. ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν

ΚΛΟSH 1 γὰρ om SH v 2 γεννημάτων: νοημάτων KOH 3 ἔλθῃ v 4 συντελέσει H v 5 συνεργία δὲ S 6 ἡμῶν v ἀγωγὴν H et Λ (sed corr Λ²) 8 γενέσθαι H v 9 Αἰγυπτίων SH v: πρωτοτόκων KO Αἰγυπτίων πρωτοτόκων Λ χωρίζει τῶν [β] πρωτοτόκων τοῦ ὀλο[α]θρευτοῦ ἐπὶ [γ] τῶν praebet quo indicetur verus verborum ordo perturbatus (α, β, γ) K 11 εἶναι: δεικνῦναι H 13 αἱ τῶν om KOSH v καὶ ante τῆς add S τε om KOS 15 διειλημένοι KO 16 περιρέον KO ut glossam ad ἰξύϊ in margine habent ὀσφύϊ KO σφίγγουσα H 18 προστίθεται v ὀψαρτυτικῆς H v: ὀψοποιητικῆς Λ et (-ητ- superscr) S ὀψοπονικῆς KO 19 παρατυγχάνοντος S 20 σχεδιασθεῖσα: λεχθεῖσα H 21 οὗ: ἂν v δαπανηθῇ SH v ἐκδαπανηθῇ Vat 2090 23 οὐ om H 25 δεδαπάνηται H v

ὅτι πρός τινα ὑψηλοτέραν διάνοιαν τὸ γράμμα βλέπει, οὐχὶ τὸν τρόπον τῆς βρώσεως ἡμῖν ὑφηγουμένου τοῦ νόμου (ἱκανὸς γὰρ τῶν τοιούτων νομοθέτης ἡ φύσις ἡ τὴν ὄρεξιν ἡμῖν τῆς τροφῆς ἐντιθεῖσα), ἀλλ' ἕτερόν τι διὰ τούτου σημαίνεται. τί γὰρ ἂν παρὰ τοῦτο γένοιτο πρὸς ἀρετὴν ἢ κακίαν οὕτως ἢ οὕτως τὴν τροφὴν προσενέγκασθαι; λελυμένον ἢ περιειλημμένον τὴν ζώνην, γυμνὸν τοὺς πόδας ἢ ἐνειλημμένον τοῖς ὑποδήμασι, διὰ χειρὸς ἔχοντα τὴν βακτηρίαν ἢ ἀποθέμενον; ἀλλὰ δῆλον ἂν εἴη ὅπερ ἡ τοῦ ὁδοιπορικοῦ σχήματος διασκευὴ δείκνυσι δι' αἰνίγματος. κελεύει γὰρ ἄντικρυς ἐπιγνῶναι τὸν τῆδε βίον ὅτι παροδικῶς ἐπιφοιτῶμεν
357 M. τῇ παρούσῃ ζωῇ, ἅμα τῇ γενέσει πρὸς τὴν ἔξοδον ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς ἀνάγκης συνελαυνόμενοι, πρὸς ἣν παρεσκευάσθαι χρὴ χερσί τε καὶ ποσὶ καὶ τῇ λοιπῇ πρὸς τὴν ὁδὸν ἀσφαλείᾳ. ὡς γὰρ ἂν μὴ ταῖς ἀκάνθαις τοῦ βίου τούτου (ἄκανθαι δ' ἂν εἶεν αἱ ἁμαρτίαι) γυμνοῖς τε καὶ ἀφυλάκτοις τοῖς ποσὶ βλαβείημεν, τὴν τῶν ὑποδημάτων στερρότητα τῶν ποδῶν προβαλλόμεθα. ταῦτα δέ ἐστιν ὁ ἐγκρατής τε καὶ κατεσκληκὼς βίος, ὁ θραύων δι' ἑαυτοῦ καὶ περικατακλῶν τὰς τῆς ἀκάνθης ἀκμὰς καὶ κωλύων ἐκ λεπτῆς τε καὶ ἀφανοῦς ἀρχῆς τὴν ἁμαρτίαν ἐπὶ τὸ ἐντὸς παραδύεσθαι. ὅ τε τοῖς ποσὶ περικεχυμένος χιτὼν καὶ μεχρὶ τῶν βάσεων καθειμένος ἐμπόδιον ἂν εἴη τῷ τὴν ὁδὸν ταύτην

16 Gen 3, 18

ΚΛΟSH 3 νομοθέτῆς (i.e. forte νομοθέτις) O 4 ἐντιθεῖσα: ἐμποιοῦσα Λ τούτου: τούτων SH v 5 διασημαίνεται S 6 οὕτως ἢ οὕτως v: ἢ οὔ. ἢ οὔ. KO ἢ οὕτως ΛH εἰ οὕτω S 7 περιειλημένον KO περιειλημμένων H τὴν ζωὴν S τῇ ζώνῃ H v γυμνῶν H 7-8 ἐνειλημένον KO ἐνειλημμένων H εἰλημμένον S 8 ἐχόντων H 9 ἀποθεμένων H ὅπερ ἡ: ὃ περὶ KOS quod ex itacismo ortum vid 10 διασκευὴ om KOS 11 τῆδε: ὧδε v 12 γεννήσει ΛS 13 τῶν πραγμάτων om v post ἀνάγκης coll KO 14 παρασκευάσασθαι ΛS τῇ alt post λοιπῇ add SH v 15 καὶ ante ὡς add v γὰρ om KOSH v οὖν post ἂν add S 17 τοῖς om KO 18 προβαλλώμεθα SH v προβαλλόμενοι (ex -όμεθα) corr Λ² ὁ om v 19 περικλῶν H v et Λ (inter περι et κλῶν erasis duabus litteris quae forte κυ fuerant) 21 τὸ: τὰ Λ 22 τε: καὶ KO 22-23 τῶν βάσεων: ποδῶν H v 23 καθιέμενος KO τῷ: τὸ Λ (at corr Λ²)

διὰ σπουδῆς κατὰ θεὸν διανύοντι. χιτὼν δ' ἂν ἡμῖν κατὰ τὸ ἀκόλουθον νοηθείη ἡ ἀπολαυστικὴ τῶν ἐν τῷ βίῳ τούτῳ σπουδαζομένων πλατύτης, ἣν εἰς ὀλίγον ὁ σώφρων λογισμὸς συστέλλει, ζώνη τοῦ ὁδοιποροῦντος γενόμενος. τὸ δὲ σωφροσύνην εἶναι τὴν ζώνην μαρτυρεῖται τῷ τόπῳ περὶ ὃν ἐνεργεῖται. ἥ τ' αὖ τῶν θηρίων ἀμυντικὴ βακτηρία ὁ τῆς ἐλπίδος λόγος ἐστίν, ᾧ καὶ τὸ κάμνον τῆς ψυχῆς ὑπερείδομεν καὶ τὸ ὑλακτοῦν ἀμυνόμεθα.

Ἐκ πυρὸς δὲ προτεθεῖσαν ἡμῖν τὴν ἐδωδὴν τὴν θερμὴν ταύτην λέγω καὶ ἔκπυρον πίστιν ἣν ἀμελητὶ προσδεχόμεθα, ἧς ἐμφαγόντες ὅσον ἐκ προχείρου γίνεται ληπτὸν τῷ ἐσθίοντι, τὸν ἐγκεκρυμμένον τοῖς στερροτέροις τε καὶ δυστρίπτοις νοήμασι λόγον ἀπεριέργαστόν τε καὶ ἀπολυπραγμόνητον καταλιμπάνομεν τῷ πυρὶ προθέντες τὴν τοιαύτην τροφήν. ὡς δ' ἂν σαφηνισθείη τὰ περὶ τούτων αἰνίγματα, ταῦτά φαμεν ὅτι τῶν θείων παραγγελμάτων, ὅσα μὲν πρόχειρον τὴν κατανόησιν ἔχει, οὐ νωθρῶς οὐδὲ κατηναγκασμένως μετιέναι προσήκει, ἀλλ' οἷον πεινῶντας καὶ μετ' ὀρέξεως ἐμφορεῖσθαι τῶν προκειμένων, ὥστε γενέσθαι τὴν τροφὴν ἡμῖν εἰς εὐεξίας ἐφόδιον, ὅσα δὲ κέκρυπται τῶν νοημάτων, οἷον τὸ ζητεῖν τίς ἡ οὐσία τοῦ θεοῦ, τί πρὸ τῆς κτίσεως ἦν, τί τὸ ἔξω τῶν φαινομένων, τίς ἡ ἀνάγκη τῶν γενομένων, καὶ ὅσα τοιαῦτα ὑπὸ τῶν περιέργων ἀνερευνᾶται — ταῦτα τῷ ἁγίῳ πνεύματι

4-5 cf 1 Pet 1, 13; Philo Quaest Ex 1, 19; De vita Moysis II, 144-5

ΚΛΟSH 1 διὰ σπουδῆς: κατὰ σπουδὴν SH v κατὰ θεὸν om KOSH v διανύοντι: διαθέοντι SH v 4 συστέλλει: συντελεῖ Λ γινόμενος S v 5 τὴν ζώνην: ταύτην H μαρτύρεται S v τόπῳ: τρόπῳ H v 6 ὃν: ὧν KOH ἐνεργεῖται: ἐνείρεται coni Daniélou post ἐνεργεῖται add ἡ ζώνη KOSH add ἡ ζωή v 7 κάμνον: κάμμυον v καινὸν KO 9 ἡμῖν: ἡμῶν KO 10 λέγω ταύτην Λ ἔμπυρον Λ ἀμελλητὶ v 11 ἐκφαγόντες Λ sed ἐκ- in ἐμ- corr Λ² καὶ post ἐσθίοντι add v 12 τὸν: τὸ KO κεκρυμμένον v στεροῖς Λ 13 λόγον: τὸν λόγον KOH καὶ τῷ λόγῳ v τε om S 14 καταλειπόμενον Λ quod in -λείπομεν corr Λ² προτιθέντες Λ² H v προσθέντες Λ 19 εἰς om v 20 ut glossam ad ἐφόδιον habent ἀναγκαῖον KO 22 τίς . . . γενομένων om KO γενομένων: γινομένων H v φαινομένων S 23 ἐρευνᾶται H v ταῦτα (sc προσήκει ex 18) om v

συγχωρεῖν μόνῳ γινώσκειν τῷ Τὰ βάθη τοῦ θεοῦ διερευνῶντι, καθώς φησιν ὁ ἀπόστολος. τὸ γὰρ ἀντὶ τοῦ πνεύματος ὑπὸ τῆς γραφῆς πολλαχῇ τὸ πῦρ μνημονεύεσθαι τε καὶ ὀνομάζεσθαι, οὐκ ἄν τις τῶν πεπαιδευμένων τὴν γραφὴν ἀγνοήσειεν. προσάγει δὲ τῇ τοιαύτῃ διανοίᾳ ἡμᾶς καὶ τὸ τῆς Σοφίας παράγγελμα ὅτι Ἰσχυρότερά σου μὴ ἐρεύνα, τουτέστι τὰ ὀστᾶ τοῦ λόγου μὴ σύντριβε· οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.

Οὕτως ἐκβάλλει τῆς Αἰγύπτου ὁ Μωϋσῆς τὸν λαὸν καὶ πᾶς ὁ τῷ Μωϋσεῖ κατ' ἴχνος ἑπόμενος τῷ τρόπῳ τούτῳ τῆς Αἰγυπτίας τυραννίδος ἐλευθεροῖ πάντας ὧν ἂν ὁ λόγος 360 M. καθίκηται. δεῖ δέ, οἶμαι, τοὺς ἑπομένους τῷ πρὸς ἀρετὴν ἡγουμένῳ μὴ πένητας εἶναι τοῦ Αἰγυπτίου πλούτου μηδὲ τῶν ἀλλοφύλων κειμηλίων ἀκτήμονας, ἀλλὰ τὰ προσόντα τοῖς ἐναντίοις πάντα λαβόντας ἐν χρήσει παρ' ἑαυτοῖς ἔχειν· ὅπερ τότε ποιῆσαι παρὰ τοῦ Μωϋσέως ὁ λαὸς παραγγέλλεται. τοῦτο δὲ οὐκ ἄν τις ἐκ τοῦ προχείρου νοήσας ἀποδέξαιτο τοῦ νομοθέτου τὴν γνώμην, εἰ ἀποστερεῖν τοὺς χρήσαντας ἐγκελεύεται καὶ ὑφηγητὴς ἀδικίας γίνεται. ἀλλ' οὐδ' ἂν κατ' ἀλήθειάν τις εἴποι ταῦτα διατάσσειν τὸν νομοθέτην πρὸς τοὺς ἐφεξῆς βλέπων νόμους τοὺς ἄνω καὶ κάτω τὴν κατὰ τοῦ πέλας ἀδικίαν κωλύοντας, κἄν τισι δοκῇ εὔλογον εἶναι τῶν ἔργων τὰ μισθώματα παρὰ τῶν Αἰγυπτίων τοὺς

1 I Cor 2, 10 6 Sir 3, 21 6 sqq cf Num 9, 12 6-8 Sir 3, 21-2
16 sqq cf Philo De vita Moysis I, 141-2

ΚΛΟSH Pap (12 δεῖ - 17 νοήσας) 1 συγχωρεῖ H 3 ὑπὸ om S 7 ἐστί om v 9 ὁ Μωϋσῆς om KOS 10 πᾶς: πῶς KO hic ut lemma πῶς οἱ Ἰσραηλῖται τοὺς Αἰγυπτίους τυραννήσαντας ἐτυράννησαν praebet O et in margine K καὶ post ἑπόμενος add S 12 καθίκηται: καθήκη Λ (sed corr Λ²) καθηγῆται v ante δεῖ add τίς ἐστιν ὁ τῶν Αἰγυπτίων πλοῦτος ὃν οἱ Ἑβραῖοι λαβόντες ᾤχοντο; Pap δέ, οἶμαι om Pap 13 μηδὲ: μήτε Pap 16 παρὰ KOSH v Pap: περὶ Λ 18 ἀποδέξηται Λ 21 νόμους: ὁ νόμος Λ sed ὁ partim oblitt videtur et νόμος in νόμους correctum Λ² 22 κατὰ τὴν τοῦ Λ sed in τὴν κατὰ τοῦ corr Λ² καί τισι δοκεῖ H 22-p 68, 7 κἂν τισι . . . ὀνομάζεται om KOS 23 τῶν ἔργων Λ: τὸ ἔργον H v

Ἰσραηλίτας διὰ τῆς ἐπινοίας ταύτης εἰσπράττεσθαι. οὐδὲν γὰρ ἧττον ἐν ἐγκλήματί ἐστι τὸ μὴ καθαρεύειν ψεύδους τε καὶ ἀπάτης τὸ τοιοῦτον παράγγελμα. ὁ γὰρ ἐν χρήσει λαβών τι καὶ μὴ ἀποδοὺς πάλιν τῷ χρήσαντι, εἰ μὲν ἀλλότριον εἴη, ὡς ἀποστερήσας ἠδίκησεν, εἰ δὲ τὸ ἑαυτοῦ κρατοίη, ὡς παραλογισάμενος τῷ ἐπ' ἐλπίδι τοῦ ἀπολαύειν χρήσαντι πάντως ἀπατεὼν ὀνομάζεται.

Οὐκοῦν ὁ ὑψηλότερος λόγος τῆς προχείρου διανοίας ἁρμοδιώτερος ὁ κελεύων τοὺς τὸν ἐλεύθερον βίον μετιόντας δι' ἀρετῆς καὶ τὸν ἔξωθεν τῆς παιδεύσεως πλοῦτον παρασκευάζεσθαι, οἷς οἱ κατὰ τὴν πίστιν ἀλλόφυλοι καλλωπίζονται. τὴν γὰρ ἠθικήν τε καὶ φυσικήν, γεωμετρίαν τε καὶ ἀστρονομίαν καὶ τὴν λογικὴν πραγματείαν καὶ πάντα ὅσα παρὰ τοῖς ἔξω τῆς ἐκκλησίας σπουδάζεται, κελεύει ὁ τῆς ἀρετῆς καθηγούμενος παρὰ τῶν τὰ τοιαῦτα πλουτούντων ἐν Αἰγύπτῳ λαβόντα λόγῳ χρήσεως ὑποδέξασθαι, ὡς ἐν καιρῷ χρησιμευσόντων ὅταν δέῃ τὸν θεῖον τοῦ μυστηρίου ναὸν διὰ τοῦ λογικοῦ πλούτου καλλωπισθῆναι. οἱ γὰρ τὸν τοιοῦτον ἑαυτοῖς θησαυρίσαντες πλοῦτον προσάγουσι τῷ Μωϋσεῖ περὶ τὴν σκηνὴν τοῦ μαρτυρίου πονοῦντι τὸ παρ' ἑαυτοῦ ἕκαστος πρὸς τὴν τῶν ἁγίων κατασκευὴν συνεισφέρων. ὃ δὴ καὶ νῦν ἔστιν ἰδεῖν γινόμενον· οἳ τὴν ἔξω παίδευσιν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ καθάπερ τι δῶρον προσάγουσιν, οἷος ἦν ὁ μέγας Βασίλειος ὁ καλῶς τὸν Αἰγύπτιον πλοῦτον

(K)Λ(O S)H 1 οὐδὲν Λ: οὐδὲ H v 2 ἐν ἐγκλήματί Λ: ἔγκλημά τί H v τὸ Λ: om H v 4 ἀποδοὺς ΛH: ἀποδιδοὺς v 5 ἀποστερητὴς H 6 τῷ H: τὸν Λ v ἐπ' ΛH: om v ἀπολαύειν χρήσαντι Λ: ἀπολαβεῖν χρήσαντι H λαβεῖν χρήσαντα v 7 in ἀπατεὼν scr -εὼν in ras super -ῶν ut vid Λ² ὀνομάζεται Λ: ὠνόμασται H v 9 δι' ἀρετῆς μετιόντας Vat 2090 10 παρασκευάσασθαι Λ οἷς ΚΛΟΗ: ᾧ S v 11-12 τε post τὴν coll v om H 12 φιλοσοφίαν post φυσικὴν add Λ v 13 παρὰ: περὶ Λ (sed corr Λ²) 15 ἐν Αἰγυπτίοις Λ 16-17 χρησιμευσόντων Λ: χρησιμεύσοντα Λ² χρησιμευόντων KOSH v 19 θησαυρίζοντες v 21 παρασκευὴν Λ 22 ἰδεῖν om H οἳ: πολλοὶ v τοῦ om v 23 προσάγοντες H in marg ὅπως ὁ μέγας Βασίλειος τῷ ἔξωθεν πλούτῳ ἐχρήσατο habent KO

ἐμπορευσάμενος κατὰ τὸν τῆς νεότητος χρόνον καὶ ἀναθεὶς τῷ θεῷ καὶ τῷ τοιούτῳ πλούτῳ τὴν ἀληθῆ κατακοσμήσας σκηνὴν τῆς ἐκκλησίας.

Ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν, ὅτι τοῖς πρὸς ἀρετὴν ἤδη βλέπουσι καὶ τῷ νομοθέτῃ κατὰ τὴν ζωὴν ἑπομένοις, ὅταν καταλίπωσι τῆς τῶν Αἰγυπτίων δυναστείας τοὺς ὅρους, ἐπακολουθοῦσί πως αἱ τῶν πειρασμῶν προσβολαὶ στενοχωρίας καὶ φόβους καὶ τοὺς περὶ τῶν ἐσχάτων κινδύνους ἐπάγουσαι, δι' ὧν καταπτοηθεῖσα τῶν κατὰ τὴν πίστιν νεοπαγῶν ἡ διάνοια εἰς παντελῆ τῶν ἀγαθῶν ἀνελπιστίαν ἐκπίπτει. ἀλλ' εἰ Μωϋσῆς ἢ εἴ τις τῶν κατ' αὐτὸν ἐπιστατῶν τοῦ λαοῦ τύχοι, ἀντιστήσει τῷ φόβῳ τὴν συμβουλὴν τῇ τῆς θείας συμμαχίας ἐλπίδι τὸ κατεπτηχὸς τῆς διανοίας παραθαρρύνων, ὅπερ οὐκ ἂν γένοιτο μὴ τῆς καρδίας τοῦ προεστηκότος τῷ θεῷ λαλούσης.

Τοῖς γὰρ πολλοῖς τῶν ἐν προστασίᾳ τοιαύτῃ προτεταγμένων τὸ φαινόμενον μόνον ὅπως ἂν εὖ διατεθείη
361 M. σπουδάζεται, τῶν δὲ κεκρυμμένων ἃ μόνῳ τῷ θεῷ καθορᾶται, ὀλίγος γίνεται λόγος. ἐπὶ δὲ τοῦ Μωϋσέως οὐχ οὕτως ἦν, ἀλλ' ἐν ᾧ θαρρεῖν τοῖς Ἰσραηλίταις διακελεύεται, μηδεμίαν κατὰ τὸ φαινόμενον φωνὴν πρὸς τὸν θεὸν ποιησάμενος, βοᾶν παρ' αὐτοῦ τοῦ θεοῦ μαρτυρεῖται· διδάσκοντος, οἶμαι, τοῦ λόγου ὅτι εὔηχός τέ

ΚΛΟSH Pap (2-3 πλούτῳ - [σκην]ὴν et 21 τί ἐ[στιν] - p 70, 3 ἐνθύμησις et post paraphrasin ita resumit p 70, 23 ὁ ταῦτα ἀκούων - 71, 6 ἅρματα) 1 ἐμπορευόμενος H   2-3 τὴν . . . ἐκκλησίας Λ: κατακόσμησας τῆς ἐκκλησίας τὴν σκηνήν ΚΟΗ Pap   κατακόσμησας τὴν ἀληθῆ τῆς ἐ. σκηνήν v   κατακόσμησας τὴν τῆς ἐ. σκηνήν S   6 καταλείπωσι ΚΟ   8 τε καὶ pr H v   9 κατὰ τὴν πίστιν om H   10 τὴν ἀνελπιστίαν ΚΟ   11 ἢ εἴ τις S: ἤ τις ΚΛΟΗ v   17 μόνον om H   19 ὁ λόγος γινέται ὀλίγος H   20 θαρσεῖν ΚΛΟΗ v   21-p 70, 1 μηδεμίαν . . . φωνὴ ΚΛΟSH v: τί ἐ[στιν ..] . [. . .]εν . . τῷ Μωϋσεῖ, τί βοᾷς; πρὸς αὐτοῦ τοῦ θεοῦ μαρτυρεῖται, μηδεμίαν κατὰ τὸ φαινόμενον φωνὴν πρὸς τὸν θεὸν ποιησάμενος· ἐκείνη ἡ φωνὴ ἡ εὔηχός ἐστι ita Pap: 'tametsi nullam exterius vocem apud Deum proferat, divinitus sibi dictum affirmat: quid tu ad me clamas' *lat*, ex qua Trapezuntium primigeniam lectionem aliquomodo cognovisse opinatur Schubart   23 τὲ Λ: om ΚΟSH v Pap

ἐστιν ἐκείνη ἡ φωνὴ καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγή, ἀλλ' ἡ ἐκ καθαρᾶς συνειδήσεως ἀναπεμπομένη ἐνθύμησις. τῷ δὲ οὕτως ἔχοντι μικρὸς ἤδη πρὸς συμμαχίαν τῶν μειζόνων ἀγώνων ὁ ἀδελφὸς καταφαίνεται, ἐκεῖνος ὁ ἀδελφὸς ὁ κατιόντι πρὸς Αἰγυπτίους κατὰ θεῖον βούλημα τῷ Μωϋσεῖ συναντήσας, ὃν εἰς ἀγγέλου τάξιν ὁ λόγος ἐνόησεν.

Ἀλλὰ τότε γίνεται τῆς ὑπερκειμένης φύσεως ἐμφάνεια, οὕτως ἐμφαινομένη καθὼς ἂν χωρῇ τὸ δεχόμενον· ὃ δὴ καὶ τότε γεγενῆσθαι παρὰ τῆς ἱστορίας ἀκούομεν καὶ εἰσαεὶ γίνεσθαι παρὰ τῆς τοῦ λόγου θεωρίας μανθάνομεν. ὅταν φεύγων τις τὸν Αἰγύπτιον καὶ ἔξω τῶν ὅρων γενόμενος πρὸς τὰς προσβολὰς τῶν πειρασμῶν δειλιάσῃ, ἄνωθεν τὴν ἐκ παραλόγου σωτηρίαν ὁ ὁδηγὸς ὑποδείκνυσιν, ὅταν περιεστοιχισμένος ὁ ἐχθρὸς τῇ ἑαυτοῦ δυνάμει τὸν διωκόμενον βατὴν ὑπ' ἀνάγκης αὐτῷ κατασκευάσῃ τὴν θάλασσαν, εἰς ἣν καθοδηγεῖται ὁδηγὸς ἡ νεφέλη· τοῦτο γὰρ ὄνομα τῷ ὁδηγοῦντι ὅπερ καλῶς τοῖς πρὸ ἡμῶν εἰς τὴν τοῦ ἁγίου πνεύματος μετελήφθη χάριν, παρ' οὗ γίνεται τοῖς ἀξίοις ἡ πρὸς τὸ ἀγαθὸν ὁδηγία, ᾧ τις ἑπόμενος τὸ ὕδωρ διέξεισιν ὁδοιποροῦντος αὐτῷ τὴν πορείαν τοῦ ἡγεμόνος, δι' οὗ γίνεται τὸ ἀσφαλὲς τῇ ἐλευθερίᾳ τοῦ ἐπὶ δουλείᾳ καταδιώκοντος ἐναφανιζομένου τῷ ὕδατι. τοῦτο δὲ ὅστις ἀκούων

ΚΛΟSH Pap (23 ὁ ταῦτα - 71, 6 ἅρματα) 1 ἀκοῆς ἀναβαίνουσα KO Pap 2 γενομένη KO ἐκ KO Pap: ἀπὸ ΛSH v 4 μειζόνων: νομιζομένων v 5 ὁ post ἀδελφὸς in ras scr K² 8 τῆς om KO ἡ ἐμφάνεια Λ² v 9 ἐμφαινομένης Λ δεχόμενον: φαινόμενον H 11 γὰρ post ὅταν add S v 12 φεύγων: φεύγῃ v 14 παραλόγου ΚΛΟΗ v: παραδόξου S ὁδηγὸς: λόγος KO ὑποδείκνυσιν: δείκνυσι S ᾗ post ὅταν add S 15 περιστοιχισάμενος v περιστοιχίσηται coni Daniélou (qui punctum post ὑποδείκνυσιν posuit) sed vide ne pendeat integrum colon ὅταν . . . νεφέλη de verbo μανθάνομεν 16 κατασκευάσει KO κατασκευάζει S 17 καθοδηγεῖται H: καθηγεῖται ΚΛΟS v ὁ ὁδηγὸς KOSH v 19 ἡ ante πρὸς om Λ 21 ὁδοιποροῦντος H αὐτῷ om v αὐτοῦ Λ τὴν δι' αὐτοῦ πορείαν Λ v ἡγεμόνος: ἡγουμένου v 22 τῇ δουλείᾳ S 23 ἐμφανιζομένου H τοῦτο . . . 71, 3 τῷ ὕδατι per hom om v τοῦτο δὲ ὅστις ἀκούων H: τοῦτο δέ τις ἀκούων Λ τοῦτο δὲ ὁ ἀκούων KOS ὁ ταῦτα ἀκούων Pap

οὐκ ἂν ἀγνοήσειε τὸ κατὰ τὸ ὕδωρ μυστήριον, ἐν ᾧ τις μετὰ τῆς πανστρατιᾶς τοῦ ἐχθροῦ καταβὰς μόνος ἀναδύεται τοῦ πολεμίου στρατοῦ καταπνιγομένου τῷ ὕδατι. τίς γὰρ οὐκ οἶδεν ὅτι στρατὸς Αἰγύπτιός ἐστι τὰ ποικίλα τῆς ψυχῆς πάθη οἷς καταδουλοῦται ὁ ἄνθρωπος; ἐκεῖνοι οἱ ἵπποι, ἐκεῖνα τὰ ἅρματα καὶ οἱ ἐπ᾽ αὐτῶν ἀναβάται, τοξόται καὶ σφενδονῆται καὶ ὁπλομάχοι καὶ ὁ λοιπὸς ὅμιλος τῆς τῶν ἐχθρῶν παρατάξεως. τί γὰρ ἄν τις διαφέρειν εἴποι τοὺς θυμώδεις τῶν λογισμῶν ἢ τὰς πρὸς ἡδονήν τε καὶ λύπην καὶ πλεονεξίαν ὁρμὰς τῆς μνημονευθείσης στρατιᾶς; λίθος ἄντικρυς ἀπὸ σφενδόνης ἐστὶν ἡ λοιδορία, καὶ λόγχη τὴν αἰχμὴν ἐπισείουσα ἡ θυμώδης ὁρμή, τὸ δὲ περὶ τὰς ἡδονὰς πάθος οἱ ἵπποι νοείσθωσαν ἀσχέτῳ τινὶ ὁρμῇ τὸ ἅρμα δι᾽ ἑαυτῶν ἐφελκόμενοι, ἐν ᾧ οἱ τρεῖς ἐπιβάται οὓς τριστάτας ὀνομάζει ἡ ἱστορία. νοήσεις δὲ τοὺς τρεῖς τούτους πάντως, τοὺς φερομένους ὑπὸ τοῦ ἅρματος, προδιδαχθεὶς ἐν τῷ κατὰ τοὺς σταθμοὺς καὶ τὴν φλιὰν μυστηρίῳ τὴν τριμερῆ τῆς ψυχῆς διαίρεσιν εἴς τε λογιστικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς ἀναπέμπων τὸ νόημα.

Ταῦτα οὖν πάντα καὶ ὅσα τούτοις ὁμόφυλα τῷ καθηγουμένῳ τῆς πονηρᾶς ἐφόδου συνεισπίπτει τῷ Ἰσραηλίτῃ ἐπὶ τὸ ὕδωρ, ἐφ᾽ ὧν ἡ τοῦ ὕδατος φύσις ἡγουμένης τῆς κατὰ τὴν βακτηρίαν πίστεως καὶ τῆς φωτιζούσης νεφέλης ζωοποιὸς

8 sqq cf Philo De ebrietate 111   16-19 cf Philo Quaest Ex I, 12

ΚΛΟSH Pap (20 καὶ ὅσα - p 72, 2 διωκόντων et 72, 7 τοιοῦτον - 72, 10 κακίας in forma abbreviata) 1 οὐκ ἂν ἀγνοήσειε: οὐκ ἀγνοήσει Pap   2 τῆς πανστρατιᾶς: πάσης τῆς στρατιᾶς Pap ἀναδύσεται Pap   3 καταπνιγομένου: καταδυομένου Pap   4 τὰ ποικίλα: τἆλλα H   ψυχῆς: σαρκὸς S   7 σφενδονίσται S 8 ὅμιλος post παρατάξεως coll S   εἴπῃ S   9 τὸν λογισμὸν H 10 λίθης H   12 ἐπεισίουσα O   ὀργή K   15 πάντας H 16 ὑπὸ: ἐπὶ KO   18 εἴς τε λογιστικὸν ΛS: εἰς τὸ λογιστικὸν KOH εἰς τὸ λογιστικόν τε Vat 2090   εἰς τὸ λογικὸν v   18-19 ἐπιθυμητικὸν καὶ errore om K nam nota marginalis textum supponit θυμοειδὲς καὶ ἐπιθυμητικὸν O   in margine quasi in schemate quodam τὸ τριμερὲς τῆς ψυχῆς· τὸ λογιστικὸν τὸ ἐπιθυμητικὸν τὸ θυμοειδές sic habent KO   20 τοῦ καθηγουμένου KO

μὲν γίνεται τῶν εἰς αὐτὴν καταφευγόντων, ἀναιρετικὴ δὲ τῶν διωκόντων. πρὸς ἃ παιδεύει διὰ τούτων ἡ ἱστορία, 364 M. οἵους προσήκει εἶναι τοὺς διϊόντας τὸ ὕδωρ, μηδὲν τῆς ἐναντίας στρατιᾶς μετὰ τὸ ἀναδυῆναι τοῦ ὕδατος ἐφελκομένους. εἰ γὰρ συνανέβη αὐτῷ ὁ πολέμιος, μένει καὶ μετὰ τὸ ὕδωρ ἐν τῇ δουλείᾳ συνεκβαλὼν ἑαυτῷ ζῶντα τὸν τύραννον ὃν ἐν τῷ βυθῷ οὐ κατέδυσε. τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς ἄν τις πρὸς τὸ γυμνότερον τὸ αἴνιγμα μεταβαλὼν σαφηνίσειε, τὸ πάντας τοὺς διερχομένους τὸ μυστικὸν ὕδωρ ἐν τῷ βαπτίσματι πᾶσαν τὴν τῆς κακίας παρεμβολὴν νεκρὰν ποιεῖν ἐν τῷ ὕδατι, οἷον τὴν πλεονεξίαν, τὴν ἀκόλαστον ἐπιθυμίαν, τὴν ἁρπακτικὴν διάνοιαν, τὸ κατὰ τὸν τῦφον καὶ ὑπερηφανίαν πάθος, τὴν θυμώδη ὁρμήν, τὴν ὀργήν, τὴν μῆνιν, τὴν βασκανίαν, τὸν φθόνον καὶ πάντα τὰ τοιαῦτα, ἐπειδή πως πέφυκεν ἕπεσθαι τῇ φύσει τὰ πάθη, νεκρὰ ποιεῖν ἐν τῷ ὕδατι αὐτά τε τὰ πονηρὰ τῆς διανοίας κινήματα καὶ τά ἐκ τούτων ἀποτελέσματα καθάπερ ἐν τῷ μυστηρίῳ τοῦ πάσχα· τοῦτο γὰρ ὄνομα τῷ ἱερείῳ οὗ τὸ αἷμα κωλυτικὸν θανάτου τῷ χρισαμένῳ γίνεται. ὥσπερ τοίνυν ἐκεῖ τὸν ἄρτον ἄζυμον κελεύει ἐπεσθίειν

9 sqq cf In Cant Cant orat 3, 76, 18 sqq (Vol VI Jaeger)

ΚΛΟSH Pap 1 καταπεφευγότων ΚΟ 2 καταδιωκόντων Λ 3 προσήκειν Λ 4 ἀναδῦναι v 4-5 ἐφελκόμενος Λ at corr Λ^2 υ suprascr 5 συναναβῇ Λ καὶ om KOSH 6 συνεκβάλλων ΚΛΟ ὁ συνεκλαβὼν coni Langerbeck 7 οὐ om KOS κατέδυσε: κατεδούλωσε H 8 τὸ post πρὸς om KO μεταβαλὼν: μεταλαβὼν S 9 δεῖν ante πάντας add v πάντας om Pap πάντως KO 10-11 νεκρὰν . . . ὕδατι delendum hic putat Daniélou (coll 15) 13 θυμώδη: μυθώθη Λ ὁρμήν: ὀργήν S τὴν ὀργήν om S 14 καὶ . . . τοιαῦτα Λ: πάντα τὰ τοιαῦτα KOSH ταῦτα πάντα καὶ τὰ τοιαῦτα v ἐπειδή πως: ἐπειδήπερ in ras (-πως ut vid) S ἐπειδήπερ Z 15 νεκρὰ ποιεῖν: νεκροποιεῖν H 15-17 αὐτά . . . ἀποτελέσματα om Pap et lat forte recte αὐτά . . . κινήματα om H 17 ante καθάπερ add καὶ ΚΛΟSH 18 ἱερίῳ KO^2 τοῦ eras ante θανάτου add K χρισαμένῳ ΛS: χρησαμένῳ KOH v 19 alt τὸν post ἄρτον add K ἄζυμα H κελεύει post πάσχα transp H et Pap (ut vid) forte recte ἐπεσθίειν ΚΛΟH v Pap: ἐσθίειν S

τῷ πάσχα (ἄζυμος δ' ἂν εἴη ὁ τῆς ἑωλοτέρας ἀνεπίμικτος ζύμης), νοεῖν δὲ δίδωσι διὰ τούτων ὁ νόμος τὸ μηδὲν τῆς κακίας λείψανον τῷ ἑξῆς καταμιγνύειν βίῳ ἀλλ' ἀπὸ ἰδίας ἀρχῆς τῆς μετὰ ταῦτα ζωῆς ἄρξασθαι τὸ συνεχὲς τῆς τῶν κακῶν ἀκολουθίας τῇ πρὸς τὸ κρεῖττον μεταβολῇ διακόψαντα. οὕτω καὶ ἐνταῦθα βούλεται πᾶν Αἰγύπτιον πρόσωπον, τουτέστι πᾶν ἁμαρτίας εἶδος ὥσπερ τινὶ βυθῷ τῷ σωτηρίῳ βαπτίσματι καταπνίξαντας μόνους ἀναδυῆναι μηδὲν κατὰ τὸν βίον ἐπισυρομένους ἀλλόφυλον. τοῦτο γάρ ἐστιν ὃ διὰ τῆς ἱστορίας ἀκούομεν, ἥ φησιν ἐν τῷ αὐτῷ ὕδατι θανάτῳ καὶ ζωῇ διακρίνεσθαι τὸ ἐχθρὸν καὶ τὸ φίλον· τοῦ μὲν ἐχθροῦ φθειρομένου, τοῦ δὲ φίλου ζωογονουμένου. ὡς οἵ γε πολλοὶ τῶν τὸ μυστικὸν βάπτισμα προσδεξαμένων ἀγνοίᾳ τῶν τοῦ νόμου παραγγελμάτων τὴν παρελθοῦσαν τῆς κακίας ζύμην τῇ ζωῇ τοῦ μετὰ ταῦτα βίου καταμιγνύουσι καὶ τὸν στράτον τὸν Αἰγύπτιον, καὶ μετὰ τὸ περάσαι τὸ ὕδωρ ζῶντα μεθ' ἑαυτῶν διὰ τῶν ἐπιτηδευμάτων ἐπάγονται. ὁ γὰρ δι' ἁρπαγῆς ἢ δι' ἀδικίας πλουτήσας ἤ τινα χῶρον ἐξ ἐπιορκίας κτησάμενος ἢ διὰ μοιχείας γυναικὶ συνοικήσας ἢ ἄλλο τι τῶν ἀπειρημένων πρὸ τῆς διὰ τοῦ βαπτίσματος δωρεᾶς παρὰ τὸν βίον τολμήσας οἴεται τῇ ἀπολαύσει τῶν κακῶς αὐτῷ προσγενομένων καὶ μετὰ τὸ λουτρὸν παραμένων ἠλευθερῶσθαι τῆς τῶν ἁμαρτημάτων δουλείας, ὥσπερ δὴ οὐχ ὁρῶν ἑαυτὸν τοῖς πονηροῖς ὑποκεκυφότα δεσπόταις. δεσπότης γάρ τίς ἐστιν ἄγριος καὶ λυσσώδης τὸ ἀκόλαστον

1 sqq cf 1 Cor 5, 7-8 9-13 Ex 14, 27-30

ΚΛΟSH Pap (11 [διακρίν]εσθαι - 12 ζωογονο[υμέ]νου et posteriore loco 1 ἄζυμον - 4 ἄρξασθαι τ[ὸ]) 1 τῷ πάσχα Λ Pap et lat ut vid: τὸ πάσχα KOSH v 2 δὲ: τε H v 3 ἑξῆς ΚΛΟS Pap: ἐφεξῆς H v 4 τὸν (cum διακόψαντα) post ἄρξασθαι add H v 5 κακῶν: καιρῶν v διακόψαντι Λ 6 πᾶν: πάντα KO 7 εἶδος ἁμαρτίας KO 8 ἀναδῦναι KO v 11 φίλιον KO 12 φιλίου KO ὡς οἵ: ὅσοι Λ (sed corr Λ²) 15 καταμιγνύοντες S 18 δι' om KOSH v τινα χῶρον: τι χωρίον H 19 συνοικήσας: συζήσας Vat 2090 Mess 50 20 διὰ om H v 22 προγενομένων S παραμένων ΚΛΟ et (ut vid) S: -μένον H παραμείνας v 23 ἐλευθερῶσθαι KO δὴ om v 25 τίς om KO

πάθος τῷ ἀνδραποδώδει λογισμῷ οἷόν τισι μάστιξι ταῖς ἡδοναῖς αἰκιζόμενος. ἄλλος τοιοῦτος δεσπότης ἡ πλεονεξία μηδεμίαν ἄνεσιν τῷ δουλεύοντι παρεχόμενος, ἀλλὰ κἂν πολλὰ ἐργάσηται τοῖς ἐπιτάγμασιν ὑπηρετῶν τοῦ δεσπότου καὶ τὸ πρὸς ἐπιθυμίαν αὐτῷ κατακτώμενος πρὸς τὸ πλεῖον ἀεὶ συνελαύνεται. καὶ τὰ ἄλλα πάντα ὅσα διὰ κακίας ἐνεργεῖται, τυράννων καὶ δεσποτῶν ἐστιν ἀπαρίθμησις, οἷς δουλεύων τις κἂν διεξεληλυθὼς τύχῃ τὸ ὕδωρ οὔπω κατά γε τὸν ἐμὸν λόγον τοῦ μυστικοῦ ὕδατος ἔθιγεν, οὗ ἔργον ἐστὶν ἡ τῶν πονηρῶν τυράννων ἀπώλεια.

365 M. Ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προσέλθωμεν πάλιν. ὁ γὰρ διελθὼν τὸ νοηθὲν ἡμῖν πέλαγος καὶ ἰδὼν ἐν αὐτῷ νεκρὸν τὸν θεωρηθέντα τοῦτον Αἰγύπτιον οὐκέτι πρὸς Μωϋσέα μόνον ὁρᾷ τὸν τῆς ἀρετῆς ῥαβδοῦχον, ἀλλὰ πιστεύει μὲν κατὰ τὸ προηγούμενον τῷ θεῷ καθὼς ὁ τῆς ἱστορίας λόγος φησί, πείθεται δὲ καὶ τῷ θεράποντι αὐτοῦ Μωϋσεῖ. ὃ καὶ νῦν βλέπομεν παρὰ τῶν ἀληθῶς περαιωσαμένων τὸ ὕδωρ γινόμενον, οἳ τῷ θεῷ ἑαυτοὺς ἀναθέντες καὶ τοῖς θεραπεύουσι διὰ τῆς ἱερωσύνης τὸ θεῖον πείθονται καὶ ὑπείκουσι, καθώς φησιν ὁ ἀπόστολος. ὁδὸς μετὰ τὴν θάλασσαν τριῶν ἡμερῶν διαδέχεται, ἐν ᾗ κατά τινα τόπον στρατοπεδεύσασιν ἄποτον παρὰ τὴν πρώτην ὑπὸ πικρίας τὸ εὑρεθὲν ὕδωρ ἐφάνη, ἀλλὰ τὸ ξύλον ἐντεθὲν προσηνὲς τοῖς διψῶσι τὸ ποτὸν ἀπειργάσατο. συμβαίνει τοῖς γινομένοις ἡ ἱστορία·

19-20 Hebr 13, 17   22 Ex 15, 23 sqq

ΚΛΟSH 2-3 ἄλλος . . . παρεχόμενος per hom ut vid om Λ

3 δουλεύοντι: τοιούτῳ H   4 ἐργάσεται O   ὑπηρετῶν$^{\beta}$ τοῖς $^{\alpha}$ἐπιτάγμασι (per numeros autem indicans verum ordinem) K   5 πλέον KOSH   6 τἄλλα KO   κακίαν H v   7 ἐστιν: εἰσιν S   8 τύχῃ: ᾗ S   11 τὸ: τὰ v   πάλιν post λόγου coll S   προέλθωμεν ΛH v   12 νοητὸν H   ἡμῖν om KOSH   αὐτῷ: ἑαυτῷ KH   16 καὶ (post δὲ) om v   Μωϋσῆ KH   17 τὸ ὕδωρ post ἀληθῶς coll SH v   περαιωσαμένων Λ: περαιουμένων KOSH v   19 τὸ θεῖον ante διὰ coll H   20 τοῦτο post μετὰ add v   21 τόπον: τρόπον H et Λ (quod corr $Λ^2$)   22 ἄτοπον H   ὑπὸ πικρίας post πρώτην coll KO   23 ἐντεθὲν: ἐντεῦθεν H   24 τὸ ἄτοπον S

τῷ γὰρ καταλελοιπότι τὰς Αἰγυπτίας ἡδονάς, αἷς ἐδούλευε πρὶν διαβῆναι τὴν θάλασσαν, δύσληπτος καὶ ἀηδὴς ὁ βίος τῶν ἡδονῶν κεχωρισμένος παρὰ τὴν πρώτην δοκεῖ. ἀλλ' εἰ τὸ ξύλον ἐμβληθείη τῷ ὕδατι, τουτέστιν εἰ τὸ τῆς ἀναστάσεως μυστήριον, ὃ διὰ τοῦ ξύλου τὴν ἀρχὴν ἔσχε (ξύλον δὲ ἀκούσας τὸν σταυρὸν πάντως ἐνόησας), τότε παντὸς γλυκάσματος τοῦ τὴν αἴσθησιν δι' ἡδονῆς γαργαλίζοντος γλυκύτερός τε καὶ ποτιμώτερος ὁ κατ' ἀρετὴν γίνεται βίος τῇ ἐλπίδι τῶν μελλόντων ἐφηδυνόμενος. ἡ δὲ ἐφεξῆς τῆς ὁδοιπορίας καταγωγὴ φοίνιξι καὶ πηγαῖς ἀβρυνομένη, διαναπαύει τῶν ὁδοιπορούντων τὸν κόπον. εἰσὶ δὲ δυοκαίδεκα μὲν αἱ τῶν ὑδάτων πηγαὶ καθαροῦ τε καὶ ἡδέος τοῦ νάματος· ἑβδομήκοντα δὲ οἱ φοίνικες εὐμεγέθεις καὶ ὑψίκομοι, τοῦ χρόνου τὰ δένδρα πρὸς ὕψος ἄραντος.

Τί οὖν ἐν τούτοις εὑρίσκομεν δι' ἀκολούθου προϊούσης τῆς ἱστορίας; ὅτι τὸ τοῦ ξύλου μυστήριον, δι' οὗ πότιμον τὸ ὕδωρ τῆς ἀρετῆς τοῖς διψῶσι γίνεται, προσάγει ἡμᾶς ταῖς δυοκαίδεκα πηγαῖς καὶ τοῖς ἑβδομήκοντα φοίνιξι, τουτέστι τῇ τοῦ εὐαγγελίου διδασκαλίᾳ, ἐν ᾧ πηγαὶ μέν εἰσι δυοκαίδεκα οἱ ἀπόστολοι, τοσούτους τοῦ κυρίου πρὸς τὴν χάριν ταύτην ἐκλεξαμένου καὶ πηγάζειν δι' αὐτῶν τὸν λόγον ποιήσαντος, ὥς καί τινα τῶν προφητῶν προαναφωνῆσαι τὴν ἐκ τῶν ἀποστόλων βρύουσαν χάριν, ἐν οἷς φησιν· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ. ἑβδομήκοντα

1 sqq cf Philo De migr Abraham 36-7   16 Ex 15, 27   23-24 Ps 67, 27

ΚΛΟSH Pap (7 [γλυκύτε]ρό[ς] - 17 ἀρετῆς fragmentarie) 1 Αἰγυπτίους S   ἐδούλευσε H   2 ἀηδής: ἀνάντης Mess 50 Vat 2090   3 ὁ ante τῶν add S v   εἰ om Λ   4 ἐμβληθῇ S   εἰ: εἰς H et (cum ς erasa) K   5 τις παραλάβοι ante μυστήριον add v   τοῦ om S   6 γλυκύσματος v   8 ποτιμότερος HΛ (at corr $Λ^2$) πολυτιμώ[τερος] Pap   8-9 τῇ . . . ἐφηδυνόμενος om H   10 ἀβρυνομένη: βαρβυομένη ut vid H   12 τῶν ὑδάτων αἱ πηγαὶ KOH v   ἡδέος τοῦ: ἡδίστου H v   13 τε ante καὶ add S   14 εἰς ὕψος S   15 προϊούσης: ποιούσης H   16-17 πότιμον τῆς ἀ. τὸ ὕδωρ ΛSH v   18 δώδεκα Λ   19 ᾧ: ᾗ H v   δώδεκα Λ   20 χάριν: χρείαν v   21 δι' αὐτῶν om KOSH   λόγον: λαὸν KO   22 τινας KO   ἀναφωνῆσαι O   24 τὸν κύριον KO

δ' ἂν εἶεν φοίνικες οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην ἔξω τῶν δώδεκα μαθητῶν ἐπιχειροτονηθέντες ἀπόστολοι, τοσούτους τὸν ἀριθμὸν ὅσους εἶναί φησιν ἡ ἱστορία τοὺς φοίνικας.

Ἀλλ' ἐπισπεύδειν, οἶμαι, προσήκει τὴν ὁδοιπορίαν διὰ τοῦ λόγου, δι' ὀλίγων ὧν παρεθέμεθα, ῥᾳδίαν τοῖς φιλοπονωτέροις τὴν θεωρίαν ποιήσαντας τῶν λοιπῶν παρεμβολῶν. ἀρεταὶ δ' ἂν εἶεν αἱ παρεμβολαί, αἷς ὁ τῷ στύλῳ τῆς νεφέλης ἑπόμενος, καθεξῆς προϊὼν ἐνστρατοπεδεύει καὶ ἀναπαύεται. τὰς οὖν ἐν τῷ μέσῳ καταγωγὰς ὑπερβὰς τῷ λόγῳ τῆς κατὰ τὴν πέτραν θαυματοποιΐας ἐπιμνησθήσομαι, ἧς ἡ φύσις ἀντιτυπὴς καὶ στερέμνιος ποτὸν τοῖς διψῶσιν ἐγένετο,
368 M. εἰς ὕδατος μαλακότητα τῆς ἀντιτυπίας ἀναλυθείσης. ἀλλ' οὐδεὶς πόνος προσαρμόσαι τῇ κατ' ἀναγωγὴν θεωρίᾳ τὴν τῆς ἱστορίας ἀκολουθίαν. ὁ γὰρ ἐν τῷ ὕδατι καταλιπὼν νεκρὸν τὸν Αἰγύπτιον, καὶ τῷ ξύλῳ καταγλυκανθεὶς καὶ ταῖς ἀποστολικαῖς ἐντρυφήσας πηγαῖς ὑπό τε τῇ σκιᾷ τῶν φοινίκων ἀναπαυόμενος, οὗτος ἤδη καὶ τοῦ θεοῦ δεκτικὸς γίνεται. Ἡ γὰρ πέτρα, καθώς φησιν ὁ ἀπόστολος, ὁ Χριστός ἐστιν, ἄνικμός τις καὶ ἀντιτυπὴς τοῖς ἀπίστοις· εἰ δέ τις προσαγάγοι τὴν ῥάβδον τῆς πίστεως, ποτὸν τοῖς διψῶσι γινόμενος καὶ ἐντὸς τῶν εἰσδεχομένων αὐτὸν εἰσρέων· ἐγὼ γάρ, φησί, καὶ ὁ πατήρ μου Ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν ἀθεώρητον, ὅτι μετὰ τὸ διαβῆναι τὴν θάλασσαν καὶ γλυκανθῆναι τοῖς τῆς ἀρετῆς

9 sqq Ex 17, 6; Ps 77, 15 sqq 17-18 I Cor 10, 4 22 Joh 14, 23

ΚΛΟSH Pap (10 ἧς - 12 ἀναλυθείσης et 14 [καταλι]πὼν - 20 πρ[οσ]άγοι τή[ν]) 1 οἱ φοίνικες S 2 δεκαδύο S 2-3 τοσοῦτοι τὸν ἀριθμὸν ὄντες KOSH v 3 ὅσους: ὅλους Λ 4 προσήκειν v διὰ pr om Λ 5 ῥᾳδίαν om S 5-6 φιλοπονοτέροις H 6 ποιήσαντες v 7 ἀρεταὶ . . . παρεμβολαί ΛH v: om KOS 11 ἡ ante ἀντιτυπὴς (-ος) add KO(S)H v ἀντίτυπος S 12 μαλακότητι O 13 κατὰ SH v 14 νεκρὸν om KOSH 15 γλυκανθεὶς SH v 17 ἀναπαυσάμενος H v Pap 18 καθώς: ὡς forsan Pap 19 τις: τε KOH Pap ἀντίτυπος ut vid S 19-20 προσάγοι Λ Pap 20 ποτὸς v 21 ἐντὸς: ἐν τοῖς H 23 in margine περὶ τοῦ μάννα Λ 24 γλυκυνθῆναι K

ὁδοιπόροις τὸ ὕδωρ καὶ μετὰ τὴν ἁβρὰν ἐκείνην καταγωγὴν τὴν κατὰ τὰς πηγὰς καὶ τοὺς φοίνικας καὶ μετὰ τὸ πιεῖν ἐκ τῆς πέτρας τότε παντελὴς ἡ τῶν Αἰγυπτίων ἐφοδίων ἐπίλειψις γίνεται. καὶ οὕτω μηδεμιᾶς αὐτοῖς ὑπολειφθείσης ἀλλοφύλου τροφῆς, ἥν ἐξ Αἰγύπτου ἐπεσιτίσαντο, ἄνωθεν ἐπερρύη ἡ τροφὴ ποικίλη τις ἅμα καὶ μονοειδὴς οὖσα. τὸ μὲν γὰρ φαινόμενον μονοειδὲς ἦν, ἡ δὲ ποιότης τὸ ποικίλον εἶχεν, ἑκάστῳ προσφόρως κατὰ τὸ εἶδος τῆς ἐπιθυμίας ἐγγινομένη. τί οὖν ἐστιν ὃ μανθάνομεν; δι᾿ ὅσων προσήκει καθαρσίων ἑαυτὸν ἐκκαθᾶραί τινα τῆς Αἰγυπτίας τε καὶ ἀλλοφύλου ζωῆς, ὥστε κενῶσαι τὸν τῆς ψυχῆς αὐτοῦ θύλακον πάσης τῆς κατὰ κακίαν τροφῆς ἧς σιτοποιοῦσιν οἱ Αἰγύπτιοι, καὶ οὕτως τὴν ἄνωθεν κατιοῦσαν τροφὴν ἐν ἑαυτῷ καθαρᾷ τῇ ψυχῇ δέξασθαι, ἣν οὐ σπορὰ ἡμῖν τις ἐκ γεωπονίας ἀνέφυσεν ἀλλ᾿ ἕτοιμος ἄρτος ἄσπορός τε καὶ ἀνήροτος, ἄνωθεν μὲν κατιὼν ἐπὶ δὲ γῆς εὑρισκόμενος. νοεῖς δὲ πάντως τὴν ἀληθῆ ταύτην βρῶσιν διὰ τοῦ κατὰ τὴν ἱστορίαν αἰνίγματος ὅτι ὁ ἄρτος Ὁ ἐξ οὐρανοῦ καταβὰς οὐκ ἀσώματόν τι χρῆμά ἐστι; πῶς γὰρ ἂν σώματι τροφὴ γένοιτο τὸ ἀσώματον; τὸ δὲ μὴ ἀσώματον σῶμα πάντως ἐστί. τὸ δὲ σῶμα τούτου τοῦ ἄρτου οὔτε ἄροσις οὔτε σπορὰ ἐγεώργησεν, ἀλλ᾿ ἡ γῆ οἵα ἐστὶ μείνασα πλήρης εὑρίσκεται τῆς τοιαύτης θείας τροφῆς, ἧς οἱ πεινῶντες μετέχουσι τὸ κατὰ τὴν παρθένον μυστήριον διὰ τῆς θαυματοποιΐας ταύτης προπαιδευόμενοι.

17-18 Joh 6, 51; cf Joh 6, 31 sqq

ΚΛΟSH 1 ἁβρὰν: ἄκραν O   ad ἁβρὰν in margine τρυφηλήν K   καταγωγὴν: διαγωγὴν v   2 ἐκ om H   3 παντελῶς v   6 ἐπερρύη ΚΛΟ: ἐπιρρεῖ SH v   ἡ ante τροφὴ om KO   τις οὖσα καὶ μ. ἅμα H   6-7 οὖσα . . . ἦν (H) v: οὖσα. τὸ μὲν . . . μονοειδὲς per hom (ut vid) om Λ τὸ μὲν . . . ἦν om KOS   9 γινομένη S   10 ἐκκαθῆραί Λ   τινα om KOSH   11 τὸν . . . θύλακον ΛΗ v: τὸ . . . θῆλυ KOS   αὐτοῦ om H   12 καὶ ante πάσης add KOSH   ἧς: ἣν KOH v   14 ἡμῖν τις Λ: τις ἡμῖν KOS ἡμῖν τοῖς v ἡμῖν τῆς H   ἐκ om H   ἐνέφυσεν H   15 ἄρτος om KOS   18 ἐξ: ἐκ τοῦ H v   22 οἵα: ἢ S   τοιαύτης θείας Λ: θείας ταύ της KOSH v   23 ἧς: οἷς Λ (sed corr Λ²)   24 παιδευόμενοι H

οὗτος τοίνυν ὁ ἀγεώργητος ἄρτος καὶ λόγος ἐστί, τῷ πολυειδεῖ τῆς ποιότητος κατὰ τὰς τῶν ἐσθιόντων ἐπιτηδειότητας συνεξαλλάσσων τὴν δύναμιν.

Οἶδε γὰρ οὐ μόνον ἄρτος εἶναι ἀλλὰ καὶ γάλα γίνεσθαι καὶ κρέας καὶ λάχανα καὶ ὅτιπερ ἂν ᾖ τῷ προσφερομένῳ κατάλληλόν τε καὶ καταθύμιον, ὡς διδάσκει ὁ τὴν τοιαύτην τοῖς αὐτοῦ παρατιθεὶς ἡμῖν τράπεζαν, Παῦλος ὁ θεῖος ἀπόστολος, ὁ τοῖς τελειοτέροις στερροτέραν τε καὶ κρεώδη βρῶσιν τὸν λόγον ποιῶν καὶ λάχανα τοῖς ἀσθενεστέροις καὶ γάλα τοῖς νηπιάζουσι. τὰ δέ, ὅσα περὶ τὴν τροφὴν ἐκείνην ἡ ἱστορία διέξεισι θαύματα, δόγματα πρὸς τὸν κατ᾽ ἀρετὴν βίον ἐστί. φησὶ γὰρ ἴσην προκεῖσθαι πᾶσι τὴν τῆς τροφῆς μετουσίαν οὐδὲν κατὰ τὴν διαφορὰν τῆς τῶν συλλεγόντων δυνάμεως οὔτε πλεονάζουσαν κατὰ τὴν χρείαν οὔτε ἐλλείπουσαν. τοῦτο δέ ἐστι κατά γε τὸν ἐμὸν λόγον συμβουλή τις τῷ 369 M. κοινῷ προκειμένη, μὴ παριέναι τοὺς ὅρους τῆς χρείας τοὺς τὰς ἀφορμὰς τοῦ ζῆν ἐκ τῶν ὑλικῶν τούτων ποριζομένους, ἀλλ᾽ εὖ εἰδέναι ὅτι ἔμμετρον τῇ φύσει τῆς ἐδώδης ἐπὶ πάντων ἐστὶν ἡ πρὸς ἡμέραν ἀπόλαυσις, ἐν ᾗ κἂν πολλαπλάσια παρασκευασθῇ τῆς χρείας, ἡ γαστὴρ τὰ ἴδια διαβῆναι μέτρα φύσιν οὐκ ἔχει οὐδὲ τῇ ἀπληστίᾳ τῆς παρασκευῆς συνεκτείνεται. ἀλλά, καθὼς φησιν ἡ ἱστορία, οὔτε ὁ τὸ πολὺ λαβὼν ἐπλεόνασε (ποῦ γὰρ ἀπόθηται τὸ πλέον οὐκ ἔχει), οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησε· πρὸς γὰρ τὸ εὑρεθὲν συσταλεῖσα ἡ χρεῖα συνεμετρήθη. τῷ δὲ τοῖς τὸ περιττὸν ταμιεύουσιν

5 Sap 16, 21 7-10 Rom 14, 1; Hebr 5, 12

ΚΛΟSH 4 γάλα γίνεσθαι καὶ om H 5 κρέα Λ λάχανον SH v 5 τῶν προσφερομένων H v 5-6 καὶ ὅτιπερ . . . καταθύμιον om K 6 τὴν om O τοῖς αὐτοῦ om Λ forte recte cuius loco καὶ τοσαύτην tentavit Daniélou 7 ἡμιν παρατιθεὶς Λ 9 λάχανον SH v 10 τὰ δέ: τὰ δ᾽ H v ἐκείνην om H 11 ἐστί KOH v: εἰσί ΛS 12 πᾶσι προκεῖσθαι KOSH v 13 οὐδὲν: οὐδὲ O οὔτε K τὴν om v 14 τὴν om v 15 γε om KOSH 18 ἔμμετρον Λ: ἔνμετρον O ἔν μέτρον KSH v 18-19 ἐστὶν ἐπὶ πάντων KO 20 μέτρα διαβῆναι KOSH v 21 φύσιν: φησίν H 22 τὸ πολὺ: πολλὰ KOSH 23 ἀποθεῖται S 25 τῷ ('ergo') Λ: τὸ KOSH v

τὴν ἀπληστίαν εἰς σκωλήκων γένεσιν μεταποιεῖσθαι, βοᾷ τρόπον τινὰ τοῖς πλεονέκταις διὰ τούτων ὁ λόγος ὅτι πᾶν τὸ ἔξω τῆς χρείας ὑπὸ τῆς πλεονεκτικῆς ταύτης ἐπιθυμίας περιεχόμενον ἐν τῇ ἑξῆς ἡμέρᾳ, τουτέστιν ἐν τῷ προσδοκωμένῳ βίῳ, σκώληξ τῷ ταμιεύσαντι γίνεται. νοεῖς δὲ πάντως ἀκούων διὰ τοῦ σκώληκος τούτου τὸν ἀτελεύτητον σκώληκα τὸν διὰ τῆς πλεονεξίας ζωογονούμενον. τὸ δὲ ἐν μόνῳ τῷ σαββάτῳ διαρκεῖν τὸ ἀπόθετον μηδεμίαν διαφθορὰν ὑπομένον τοιαύτην τινὰ συμβουλὴν περιέχει, ὅτι ἔσθ' ὅτε χρηστέον ἐστὶ τῇ πλεονεκτικῇ προαιρέσει, ἐν οἷς τὸ συναγόμενον διαφθορὰν οὐ προσιεται, τότε χρήσιμον ἡμῖν γινόμενον ὅταν παρελθόντες τὴν τοῦ βίου τούτου παρασκευὴν ἐν τῇ μετὰ θάνατον ἀπραξίᾳ γενώμεθα. ἡ γὰρ πρὸ τοῦ σαββάτου ἡμέρα παρασκευὴ πρὸς τὸ σάββατον καὶ ἔστι καὶ ὀνομάζεται. αὕτη δ' ἂν εἴη ὁ βίος οὗτος ἐν ᾧ τὰ τῆς ἐρχομένης ζωῆς ἑαυτοῖς εὐτρεπίζομεν. ἐν ᾗ ἔργον οὐδὲν τῶν νῦν ἡμῖν συγκεχωρημένων ἐπιτελεῖται, οὐ γεωργία, οὐκ ἐμπορία, οὐ στρατεία, οὐκ ἄλλο τι τῶν ὧδε σπουδαζομένων οὐδέν, ἀλλ' ἐν ἀπραξίᾳ πάσῃ τῶν τοιούτων ἔργων διάγοντες, τῶν νῦν ἡμῖν παρὰ τὸν βίον καταβεβλημένων σπερμάτων τοὺς καρποὺς κομιζόμεθα, ἀφθάρτους μίν, εἴπερ ἀγαθὰ εἴη τὰ σπέρματα, φθαρτικοὺς δὲ καὶ ὀλεθρίους εἰ τοιαῦτα ἡ γεωργία τῆς ζωῆς ταύτης ἐκφύσειεν. Ὁ γὰρ σπείρων, φησίν, εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον· ὁ δὲ σπείρων εἰς τὴν σάρκα ἐκ τῆς σαρκὸς θερίσει φθοράν. ἀλλ' ἡ πρὸς τὸ κρεῖττον ἑτοιμασία μόνη κυρίως παρασκευὴ ὀνομάζεται καὶ κυροῦται δήπουθεν τῷ

22-25 Gal 6, 8.

ΚΛΟSΗ 1 τὴν ἀπληστίαν ante βοᾷ coll KOSH v 2 διὰ τούτων om KOSH 4 τουτέστιν om Λ 5 ὁ σκώληξ v νοεῖ v 6 ὁ ἀκούων v τοῦ σκώληκος om KO τούτου om H 7 μόνῳ om H 9 ἔσθ' ὅτε: σοι τότε Vat 2090 τοι τότε v 11 γινόμενον KOSH: γενόμενον v γίνεται Λ 13 hic ut lemma ὅτι παρασκευὴ πρὸς τὸ σάββατον εἴρηται habet O idemque in margine K 14 ἂν om v 18 οὐδέν: οὐδέ τι v 20 κομιζόμεθα: νομιζόμεθα v 21 εἴη: ἦν H τοῦ βίου ante τὰ σπέρματα add v 22 τοιοῦτος Λ τοιαύται Λ² ἡ: ἡμῖν τὰ v 23 φησίν post πνεῦμα coll KOH τὸ om H 26 τε post ὀνομάζεται add KOS δή ποθεν v

νόμῳ, ἧς τὸ ἀπόθετον ἀφθαρσία ἐστί. τὸ δὲ ἐκ τοῦ ἐναντίου νοούμενον παρασκευὴ οὔτε ἔστιν οὔτε λέγεται· τὴν γὰρ τῶν ἀγαθῶν στέρησιν οὐκ ἄν τις εἰκότως παρασκευὴν ἀλλ' ἔκπτωσιν παρασκευῆς ὀνομάσειε. διὸ μόνην τὴν πρὸς τὸ κρεῖττον κατορθουμένην παρασκευὴν νομοθετεῖ τοῖς ἀνθρώποις ἡ ἱστορία, τὸ ἐναντίον διὰ τῆς παραλείψεως νοεῖν τοῖς συνετοῖς καταλείπουσα.

Καθάπερ δὲ τοῖς στρατιωτικοῖς καταλόγοις πρότερον πορίζει τὸ σιτηρέσιον ὁ τῆς στρατιᾶς ἡγούμενος, εἶθ' οὕτω δίδωσι τοῦ πολέμου τὸ σύνθημα, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς ἀρετῆς στρατιῶται τὸ μυστικὸν δεξάμενοι σιτηρέσιον, οὕτω κατὰ τῶν ἀλλοφύλων κινοῦσι τὸν πόλεμον Ἰησοῦ τοῦ Μωϋσέως διαδόχου καθηγουμένου τῆς μάχης. ὁρᾷς δι' οἵας πρόεισιν ἀκολουθίας ὁ λόγος; ἕως ἀσθενέστερός ἐστιν ὁ ἄνθρωπος τῇ πονηρᾷ τυραννίδι κεκακωμένος, δι' ἑαυτοῦ τὸν ἐχθρὸν οὐκ ἀμύνεται· οὐδὲ γὰρ δύναται. ἀλλ' ἕτερός
372 M. ἐστιν ὁ τῶν ἀσθενούντων ὑπερμαχῶν, ὁ ταῖς ἐπαλλήλοις πληγαῖς τὸν πολέμιον τύπτων. ἐπεὶ δὲ τῆς τῶν κρατούντων δουλείας ἠλευθερώθη καὶ κατεγλυκάνθη τῷ ξύλῳ, καὶ ἐν τῇ φοινίκων καταγωγῇ τὸν κόπον ἀνέπαυσε καὶ τὸ τῆς πέτρας ἔγνω μυστήριον καὶ τῆς οὐρανίου μετέσχε τροφῆς, τότε οὐκέτι δι' ἑτέρας χειρὸς ἀμύνεται τὸν πολέμιον, ἀλλ' ὡς ἐκβὰς ἤδη τὴν τοῦ παιδὸς ἡλικίαν καὶ καταλαβὼν τὴν ἀκμὴν τῆς νεότητος αὐτὸς δι' ἑαυτοῦ τοῖς ἐναντίοις συμπλέκεται, στρατηγῷ χρώμενος οὐκέτι Μωϋσεῖ τῷ θεράποντι τοῦ θεοῦ, ἀλλ' αὐτῷ τῷ θεῷ, οὗ Μωϋσῆς θεράπων ἐγένετο. ὁ γὰρ ἐξ ἀρχῆς δοθεὶς ἐν τύπῳ καὶ σκιᾷ τῶν μελλόντων νόμος

25 Deut 34, 5 et alibi   27 Hebr 8, 5

ΚΛΟSΗ 1 ἧς: εἰς Η   2-3 παρασκευὴ . . . εἰκότως per hom om v   4 τὴν om Λ (sed superscr Λ²)   6 καταλήψεως Λ sed corr Λ²   7 καταλιποῦσα ΚΛ   8 ἐν post δὲ add v   9 στρατείας ΚΟ v οὕτως ΚΟΗ   10 σύνθεμα ΚΟ   11-12 post σιτηρέσιον loco οὕτω siglum ∻ erasum habet S   18 ἐπεί: ἐπὶ Κ ἐπὰν v   19 ἐλευθερωθῇ v   καταγλυκανθῇ v   20 τῶν φοινίκων Η ἔπαυσε S ἀναπαύσῃ v   21 γνῷ v   μετάσχῃ v   23 τὴν (alt): τῆς Κ   26 τοῦ om Η   27 ἐν om S

ἐν τοῖς ἀληθινοῖς ἀγῶσιν ἀπόμαχος μένει, στρατηγεῖ δὲ ὁ πληρωτὴς τοῦ νόμου καὶ Μωϋσέως διάδοχος, ὁ διὰ τῆς ὁμωνυμίας τοῦ τότε στρατηγοῦντος προκηρυσσόμενος. ὁ δὲ λαός, εἰ μὲν ἐπηρμένας βλέπει τοῦ νομοθέτου τὰς χεῖρας, ὑπέρτερος τοῦ ἐχθροῦ κατὰ τὴν παράταξιν γίνεται, εἰ δὲ καθειμένας, ἐνδίδωσι. σημαίνει δὲ τὸ μὲν ἐν ὕψει τὰς χεῖρας ἔχειν τὸν Μωϋσέα τὴν διὰ τῶν ὑψηλοτέρων νοημάτων θεωρίαν, τὸ δὲ εἰς τὴν γῆν ἐπικλίνειν τὴν ταπεινήν τε καὶ χαμαίζηλον κατὰ τὸ γράμμα τοῦ νόμου ἐξήγησίν τε καὶ παρατήρησιν. ἐπαίρει δὲ βαρυνθείσας τὰς χεῖρας τοῦ Μωϋσέως ὁ ἱερεὺς συνεργῷ χρώμενος τῷ οἰκειωμένῳ κατὰ τὸ γένος. οὐδὲ τοῦτο τῆς τῶν θεωρηθέντων ἀκολουθίας ἐστὶν ἐκτός· ἡ γὰρ ἀληθὴς ἱερωσύνη διὰ τοῦ συνημμένου αὐτῇ λόγου θεοῦ τὰς ἐν τῇ βαρύτητι τῆς Ἰουδαϊκῆς διανοίας εἰς γῆν ἐρριμμένας ἐνεργείας τοῦ νόμου πάλιν πρὸς τὸ ὕψος ἀνάγει καὶ πίπτοντα τὸν νόμον εἰς ἔδαφος ὑπερείδει τῷ λίθῳ, ὥστε αὐτὸν ἀνεστῶτα τῷ σχήματι τῆς τῶν χειρῶν ἐκτάσεως τὸν ἑαυτοῦ σκοπὸν ὑποδεικνύειν τοῖς βλέπουσιν. ἀληθῶς γὰρ τοῖς καθορᾶν δυναμένοις ἐν τῷ νόμῳ μάλιστα τὸ κατὰ τὸν σταυρὸν θεωρεῖται μυστήριον. διό φησι τὸ εὐαγγέλιον ὅτι ἐκ τοῦ νόμου τὸ ἰῶτα καὶ ἡ κεραία οὐ παρέρχεται, σημαῖνον διὰ τῶν εἰρημένων τήν τε ἐκ πλαγίου γραμμὴν καὶ τὸν κατ' εὐθὺ τόνον

2 sqq de mandato Iosue (Ios 1, 8) cf Barnabas 12, 8-9 18 sqq cf Barnabas 12, 2-5 21-22 Matth 5, 18

ΚΛΟSH 2 ὁ om KOSH 4 βλέποι KO v in margine τίς ἡ τῶν χειρῶν ἔκτασις solus O 5 παράταξιν: τάξιν S 6 καθιεμένας KO 7 ἔχειν: ἐπαίρειν v ὑψηλοτάτων v 7-8 τοῦ νόμου post θεωρίαν add Λ v ad θεωρίαν ut vid in margine siglum ∻ tantum praebet O 9 τε om H 10 ἐπαίρει: ὑπερείδει v τοῦ Μωϋσέως τὰς χεῖρας KOH v 11 οἰκειουμένῳ H τὸ om H 12 θεωρημάτων Λ 13 θείου v om KO 13-14 ἐν τῇ ΛSH: τῇ KO ἐν v 14 τῆς om S Ἰουδαϊκὰς διανοίας Z et ut vid S 15 πρὸς Λ: εἰς KOSH v τὸ om KO ἀνάγει: ἄγει S post πάλιν coll KOH v 18 δεικνύειν KOSH 20 διὸ KOSH v: δι' ὧν Λ ποῦ post φησι add v 21 τὸ ante ἰῶτα om S ἡ om v σημαῖνον S v: σημαίνων ΚΛΟΗ 22 τὸν κατ' εὐθὺ τόνον ΚΛΟSH: κάθετον ('perpendicularis') v nimis obvia videtur correctio, sensus tamen apparet 'lineam transversam et rectam illam tensionem, quibus describitur crucis signum'

δι' ὧν τὸ σχῆμα τοῦ σταυροῦ καταγράφεται, ὅπερ καὶ ἐν τῷ Μωϋσεῖ τότε βλεπόμενον, ὃς ἀντὶ τοῦ νόμου νοεῖται, τρόπαιον καὶ νίκης αἴτιον τοῖς ὁρῶσι καθίσταται.

Πάλιν ἡμῖν δι' ἀκολούθου τινὸς ἀναβάσεως πρὸς τὰ ὑψηλότερα τῆς ἀρετῆς ὁ λόγος χειραγωγεῖ τὴν διάνοιαν· ὁ γὰρ καὶ διὰ τῆς τροφῆς δυναμωθεὶς καὶ τῇ πρὸς τοὺς ἐναντίους συμπλοκῇ τὴν δύναμιν δείξας καὶ νικητὴς τῶν ἀντιδιατεταγμένων γενόμενος τότε προσάγεται τῇ ἀπορρήτῳ ἐκείνῃ θεογνωσίᾳ, διδάσκοντος ἡμᾶς διὰ τούτων τοῦ λόγου οἷα καὶ ὅσα προσήκει προκατορθῶσαι κατὰ τὸν βίον, ἵνα τολμήσῃ ποτὲ τῇ διανοίᾳ προσβῆναι τῷ τῆς θεογνωσίας ὄρει καὶ ὑποδέξασθαι τὴν τῶν σαλπίγγων φωνὴν καὶ εἰσελθεῖν εἰς τὸν γνόφον οὗ ἔστιν ὁ θεός, καὶ ἐγγράψαι ταῖς πλαξὶ τὰ θεῖα χαράγματα, κἂν συντριβῶσιν αὗται διὰ πλημμελείας τινός, πάλιν τὰς χειροτμήτους ὑποθεῖναι τῷ θεῷ πλάκας καὶ ἀναχαράξαι τῷ θείῳ δακτύλῳ τὰ ἐν ταῖς πρώταις ἀχρειωθέντα γράμματα.

373 M. Βέλτιον δ' ἂν εἴη δι' ἀκολούθου κατὰ τὴν τῆς ἱστορίας τάξιν τῇ ἀναγωγῇ προσαρμόσαι τὸ νόημα. ἐπειδὰν γὰρ ὁ πρὸς τὸν Μωϋσέα καὶ τὴν νεφέλην βλέπων, δι' ὧν ἀμφοτέρων γίνεται τοῖς κατ' ἀρετὴν προϊοῦσιν ἡ ὁδηγία (εἴη δ' ἂν ἐν τῷ μέρει τούτῳ Μωϋσῆς μὲν τὰ νομικὰ παραγγέλματα, νεφέλη δὲ ἡ προκαθηγουμένη τοῦ νόμου), ὁ διανοίᾳ κεκαθαρμένῃ ἐν τῇ διαβάσει τοῦ ὕδατος νεκρώσας τε καὶ ἀποκρίνας ἑαυτοῦ τὸ ἀλλόφυλον, γεύσηται τῆς Μερρᾶς, τουτέστι τοῦ κεχωρισμένου τῶν ἡδονῶν βίου, ὃ πικρόν τε καὶ ἀηδὲς παρὰ τὴν πρώτην τοῖς γευσαμένοις φαινόμενον γλυκεῖαν παρέχει τοῖς τὸ ξύλον παραδεξαμένοις τὴν αἴσθησιν, εἶτα τοῖς

ΚΛΟSH 1 δι' ὃν H δι' οὗ S 2 τότε: τὸ Λ quod et expunxit Λ² τροπαίου v 7 κινητὴς v 7-8 ἀντιτεταγμένος KOSH v 8 γενάμενος O 14 κἂν: καὶ H τινάς S 15 ὑποθῆναι O πλάκας om H 16 ἀρχειωθέντα v 18 ἀναγωγικῇ v 21 νόμιμα Λ 22 ἡ om KOSH v νόμου: λόγου H λόγου διάνοια Λ ὁ: ὃς v ἐν om S 23 διαβάσει: βάσει Λ ἀποκρίνας: ἀποκτείνας S 24 τὸν ἀλλόφυλον H γεύσηται ΛH: γεύεται O γεύσεται K v γεύσει S τε ante τῆς Μερρᾶς add Λ² SH v δὲ Λ (sed in τε corr Λ²)

κάλλεσι τῶν φοινίκων τῶν εὐαγγελικῶν καὶ τῶν πηγῶν ἐντρυφήσας καὶ τοῦ ζῶντος ὕδατος, ὅπερ ἐστὶν ἡ πέτρα, πλήρης γενόμενος τόν τε οὐράνιον ἄρτον ἐν ἑαυτῷ λαβὼν καὶ κατὰ τῶν ἀλλοφύλων ἀνδρισάμενος, ᾧ τῆς νίκης αἰτία ἡ ἔκτασις τῶν τοῦ νομοθέτου χειρῶν γίνεται, ἡ τὸ μυστήριον τοῦ σταυροῦ προδεικνύουσα, τότε προσάγεται τῇ τῆς ὑπερκειμένης φύσεως θεωρίᾳ· ὁδὸς δὲ αὐτῷ πρὸς τὴν τοιαύτην γνῶσιν ἡ καθαρότης γίνεται, οὐ τοῦ σώματος μόνον περιρραντηρίοις τισὶν ἀφαγνισθέντος ἀλλὰ καὶ τῶν ἐνδυμάτων πάσης κηλῖδος ἀποκλυσθέντων τῷ ὕδατι. τοῦτο δέ ἐστι τὸ διὰ πάντων καθαρεῦσαι δεῖν τὸν μέλλοντα προσβαίνειν τῇ τῶν νοητῶν θεωρίᾳ, ὡς καὶ ψυχῇ καὶ σώματι καθαρὸν εἶναι καὶ ἀκηλίδωτον τὸν ἐν ἑκατέρῳ ῥύπον καταλλήλως ἀποκλυσάμενον, ὡς ἂν καθαροὶ καὶ τῷ τὸ κρυπτὸν ὁρῶντι φανείημεν καὶ ἡ κατὰ τὸ φαινόμενον εὐσχημοσύνη τῇ ἔνδον τῆς ψυχῆς διαθέσει συμβαίνοι. διὰ τοῦτο πρὸ τῆς ἐπὶ τὸ ὄρος ἀνόδου τῷ θείῳ προστάγματι τὰ ἱμάτια πλύνεται, τῆς εὐσχήμονος τοῦ βίου περιβολῆς παραδηλουμένης ἡμῖν τῷ τῶν ἱματίων αἰνίγματι· οὐ γὰρ ἄν τις εἴποι τὸν αἰσθητὸν τοῦτον ῥύπον τῶν ἱματίων ἐμπόδιον τῆς ἀνόδου τοῖς πρὸς τὸν θεὸν ἀνιοῦσι γίνεσθαι, ἀλλ᾽ οἶμαι καλῶς τὸ ἱμάτιον τῶν κατὰ τὸν βίον τοῦτον ἐπιτηδευμάτων τὴν περιβολὴν ὀνομάζεσθαι.

Τούτου δὲ κατορθωθέντος καὶ τῆς τῶν ἀλόγων ἀγέλης ὡς πορρωτάτω τοῦ ὄρους ἀπελασθείσης, οὕτω προσβαίνει

2-3 Joh 4, 10   3 Joh 6, 32   14-15 Matth 6, 4   17-18 Ex 19, 10   23 sqq Ex 19, 13

ΚΛΟSH 5 τῶν . . . χειρῶν om H   τῶν χ. τοῦ νομ. v   ἡ om S   7 ὑποκειμένης H   αὐτῷ: αὐτῶν H   8 ἡ om v   καθαρότητος H   μόνου S   8-9 περιρραντιστηρίοις ΚΟ   9 ἀφαγνισθέντος: σφραγισθέντος H   11 δεῖν om SH   προβαίνειν Λ (sed corr Λ² manu superscr)   12 νοητῶν: ὄντων v   ὡς hic om sed post σώματι coll Λ   13-14 ἀποκλυσάμενον καταλλήλως ΛS   14 καὶ om H   τὸ om O   τὸ κρυπτὸν Λ sed in τὰ κρυπτὰ corr Λ²   15 ἔνδον: ἔνδοθεν H v   18 ἡμῖν om Λ   18-19 τῶν ἱματίων τῷ ὑποδείγματι S   21 γίνεσθαι post ἐμπόδιον coll Λ   τὸ del Langerbeck   τὴν (cum περιβολὴν) post ἱμάτιον coll v   22 τὴν hic om v   24 ὡς om KOSH v   ἀπελαθείσης SH v   προσβαίνειν KO

τῇ ἀναβάσει τῶν ὑψηλῶν νοημάτων τὸ δὲ μηδὲν τῶν ἀλόγων συγχωρῆσαι ἐπὶ τοῦ ὄρους φαίνεσθαι σημαίνει κατὰ τὴν ἡμετέραν ὑπόληψιν τὸ ὑπερβῆναι τὴν ἐξ αἰσθήσεως γενομένην γνῶσιν ἐν τῇ τῶν νοητῶν θεωρίᾳ. ἴδιον γὰρ τῆς τῶν ἀλόγων φύσεως τὸ κατ᾽ αἴσθησιν μόνην δίχα διανοίας οἰκονομεῖσθαι· ἐκείνων καθηγεῖται ἡ ὄρασις καὶ ἡ ἀκοὴ πολλάκις πρός τι τὴν ὁρμὴν παρεκίνησε καὶ τὰ ἄλλα πάντα δι᾽ ὧν ἐνεργὸς ἡ αἴσθησις γίνεται, πολλὴν ἐν τοῖς ἀλόγοις ἔχει τὴν χώραν. ἡ δὲ τοῦ θεοῦ θεωρία οὔτε κατὰ τὸ φαινόμενον οὔτε κατὰ τὸ ἀκουόμενον ἐνεργεῖται οὔτε τινὶ τῶν συνήθων ὀνομάτων καταλαμβάνεται· Οὔτε γὰρ ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε τῶν ἐπὶ καρδίαν ἀνθρώπου συνήθως ἀναβαινόντων ἐστίν. ἀλλὰ χρὴ τὸν μέλλοντα προσβαίνειν τῇ τῶν ὑψηλῶν κατανοήσει πάσης αἰσθητικῆς τε καὶ ἀλόγου κινήσεως προκαθᾶραι τὸν τρόπον καὶ πᾶσαν δόξαν ἐκ προκαταλήψεώς τινος γεγενημένην τῆς διανοίας ἐκπλύναντα τῆς τε συνήθους ὁμιλίας χωρισθέντα τῆς πρὸς τὴν ἰδίαν σύνοικον, τουτέστι τὴν αἴσθησιν, ἣ συζυγής πώς ἐστι τῇ ἡμετέρᾳ φύσει καὶ σύνοικος, καὶ ταύτης καθαρὸν γενόμενον οὕτω κατατολμῆσαι τοῦ ὄρους.

376 M. Ὄρος γάρ ἐστιν ὡς ἀληθῶς ἄναντες καὶ δυσπρόσιτον ἡ θεολογία, ἧς μόλις ὁ πολὺς λεὼς τῆς ὑπωρείας φθάνει. εἰ δέ τις Μωϋσῆς εἴη, γένοιτ᾽ ἂν καὶ ἐπὶ πολὺ τῆς ἀνόδου, χωρῶν τῇ ἀκοῇ τὰς τῶν σαλπίγγων φωνάς, ἅς φησιν ὁ τῆς ἱστορίας λόγος ἰσχυροτέρας ἐν τῷ προβαίνειν γίνεσθαι. ἀληθῶς γὰρ σάλπιγξ τὴν ἀκοὴν καταπλήττουσα τὸ περὶ τῆς θείας

11-12 I Cor 2, 9 (Isai 64, 4) 24 sqq Ex 19, 16 25-p 87, 2 cf Matth 24, 31; I Thess 4, 16; I Cor 15, 52

ΚΛOSH 3 ἡμετέραν: ἐμὴν KO τὸ om KOSH γινομένην Λ 10 τινὶ om KO ὀνομάτων: νοημάτων SH v 12 τι ante τῶν add v τῶν om H 15 τὴν post δόξαν add v 16 προλήψεώς v τινος om H τῇ διανοίᾳ ἐμπλύναντα H 18 σύζυγος S συνζυγής Λ συζυγή v 19 καὶ ταύτης om KOH 21 ὡς ἀληθῶς ante ἐστιν Λ 22 μόγις KOS λεὼς: λαὸς Λ τὴν ὑπώρειαν v φθάνει: τυψχάνει Λ 23 πολὺ om v 25 προσβαίνειν S 26 γὰρ om v ἡ post σάλπιγξ add v θείας om H

φύσεως κήρυγμα, μέγα μὲν καὶ παρὰ τὴν πρώτην, μεῖζον δὲ καὶ μᾶλλον τῆς ἀκοῆς καθικνούμενον ἐν τοῖς τελευταίοις. ἐσάλπισεν ὁ νόμος καὶ οἱ προφῆται τὸ θεῖον τῆς κατὰ ἄνθρωπον οἰκονομίας μυστήριον, ἀλλ' ἀσθενέστεραι ἦσαν αἱ πρῶται φωναὶ ἢ ὥστε καθικνεῖσθαι τῆς ἀπειθοῦς ἀκοῆς. διὸ αἱ βαρυηκοΐαι τῶν Ἰουδαίων τὴν φωνὴν τῶν σαλπίγγων οὐ προσεδέξαντο προβαίνουσαι δέ, καθώς φησιν ὁ λόγος, αἱ σάλπιγγες Ἐγίνοντο ἰσχυρότεραι. αἱ γὰρ τελευταῖαι φωναί, αἱ διὰτῶν εὐαγγελικῶν κηρυγμάτων γεγενημέναι, καθικνοῦντο τῶν ἀκοῶν, οὕτω τοῦ πνεύματος διὰ τῶν ὀργάνων ἠχοῦντος γεγωνότερον ἐν τοῖς ἐφεξῆς καὶ εὐτονώτερον ποιουμένου τὸν ἦχον. ὄργανα δ' ἂν εἶεν ἐν πνεύματι τὸν φθόγγον ἠχοῦντα προφῆταί τε καὶ ἀπόστολοι ὦν, καθώς φησιν ἡ ψαλμῳδία, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Εἰ δὲ οὐ χωρεῖ τὸ πλῆθος τὴν ἄνωθεν γινομένην φωνήν, ἀλλ' ἐπιτρέπει τῷ Μωϋσεῖ γνῶναι μὲν δι' ἑαυτοῦ τὰ ἀπόρρητα, διδάξαι δὲ τὸν λαὸν ὅπερ ἂν διὰ τῆς ἄνωθεν διδασκαλίας τύχοι μαθὼν δόγμα, καὶ τοῦτο τῶν κατὰ τὴν ἐκκλησίαν διοικουμένων ἐστί, τὸ μὴ πάντας ἑαυτοὺς εἰσωθεῖν πρὸς τὴν τῶν μυστηρίων κατάληψιν, ἀλλ' ἐπιλέξαντας ἐξ ἑαυτῶν τὸν χωρῆσαι τὰ θεῖα δυνάμενον ἐκείνῳ τὴν ἀκοὴν εὐγνωμόνως

7-8 Ex 19, 19 14-15 Ps 18, 5

ΚΛΟSH 1 ante μεῖζον add φαινόμενον v 3 ἐσάλπιζεν KO 4 τὸ μυστήριον forte ex corr Λ ἀσθενέστερον H 5 ἢ ὥστε: πως H 6 αἱ βαρυκοΐαι Λ (et η superscr Λ²) ἡ βαρυκοΐα KOSH v 7 προσεδέξατο KOSH παρεδέξατο v 8 ἐγένοντο SH v 9 τῶν κηρυγμάτων τῶν εὐαγγελικῶν KO γεγενημέναι om KO 10 καθικνοῖντο Λ errore forte pro καθικνοῦντο quod scripserunt C et Vat 444 καθήκοντο S καθίκοντο KOH v τῆς ἀκοῆς SH v τῷ post πνεύματος add in uncis v τοῦ add SH 11 γεγωνότερον ΛS: γενναιότερον KOH v 12 ποιουμένων KO ποιοῦντος S ὄργανα: ὁρᾶν KOS εἶεν: εἴη KOSH ἐν πνεύματι τὸν Λ: ἕνα πνευματικὸν KOSH v 13 ἠχοῦντας KOS προφήτας τε καὶ ἀποστόλους KOS τε om v 15 αὐτῶν om S 16 γινομένην: ῥηγνυμένην H 17 ἑαυτοῦ: αὐτοῦ v 18 ἅπερ S 19 τύχοι: τύχη KOS v δόγματα S 20 πρὸς: εἰς KO 21 ἐξ ἑαυτῶν: ἑαυτοῖς KO

ὑπέχειν, πιστὸν ἡγουμένους ἅπαν, ὅτιπερ ἂν παρὰ τοῦ τὰ θεῖα μυηθέντος ἀκούσωσιν. Οὐ πάντες γάρ, φησίν, ἀπόστολοι, οὐδὲ πάντες προφῆται. τοῦτο δὲ οὐκ ἔστι νῦν ἐν ταῖς πολλαῖς τῶν ἐκκλησιῶν φυλασσόμενον. πολλοὶ γὰρ καθαρσίων ἔτι ἐκ τῶν βεβιωμένων δεόμενοι, ἄπλυτοί τινες καὶ κατεσπιλωμένοι τῇ τοῦ βίου περιβολῇ, τὴν ἄλογον αἴσθησιν ἑαυτῶν προβαλλόμενοι τῆς θείας ἀνόδου κατατολμῶσιν, ὅθεν αὐτοὶ τοῖς ἰδίοις ἑαυτῶν λογισμοῖς καταλεύονται· αἱ γὰρ αἱρετικαὶ ὑπολήψεις λίθοι τινὲς ἀτεχνῶς εἰσιν αὐτὸν τὸν εὑρετὴν τῶν πονηρῶν δογμάτων καταφονεύοντες.

Τί δὲ βούλεται τὸ ἐντὸς γενέσθαι τοῦ γνόφου τὸν Μωϋσέα καὶ οὕτως ἐν αὐτῷ τὸν θεὸν ἰδεῖν; ἐναντίον μὲν γὰρ δοκεῖ πως εἶναι τῇ πρώτῃ θεοφανείᾳ τὸ νῦν ἱστορούμενον· τότε γὰρ ἐν φωτί, νῦν δὲ ἐν γνόφῳ τὸ θεῖον ὁρᾶται. μηδὲ τοῦτο τοῦ εἱρμοῦ τῶν κατὰ ἀναγωγὴν ἡμῖν θεωρηθέντων ἀπᾴδειν νομίσωμεν. διδάσκει γὰρ διὰ τούτων ὁ λόγος ὅτι τῆς εὐσεβείας ἡ γνῶσις φῶς γίνεται παρὰ τὴν πρώτην οἷς ἂν ἐγγένηται. διότι τὸ ἐξ ἐναντίου τῇ εὐσεβείᾳ νοούμενον σκότος ἐστίν· ἡ δὲ ἀποστροφὴ τοῦ σκότους τῇ μετουσίᾳ τοῦ φωτὸς γίνεται. προϊὼν δὲ ὁ νοῦς καὶ διὰ μείζονος ἀεὶ καὶ τελειοτέρας προσοχῆς ἐν περινοίᾳ γινόμενος τῆς τῶν ὄντων κατανοήσεως, ὅσον προσεγγίζει μᾶλλον τῇ θεωρίᾳ τοσοῦτον

2-3 I Cor 12, 29   12 sqq cf Philo De poster Cain 13-16; eandem doctrinam Gregorii In Cant Cant orat 3, 76, 18 sqq (Vol VI Jaeger)

ΚΛΟSH 3 οὐδὲ: οὐ H   5 καθαρσίων . . . καὶ om S   7 αὐτῶν OH v om S   προβαλόμενοι v περιβαλλόμενοι S   8 αὐτῶν KOH v καταλεύονται ΛS(qui vestigia erasa λ? praebet ante λ) et H: καταλύονται KO   κατασαλεύονται v   at recte quidem καταλεύονται ('lapidantur') ut inspici possit ex membro sequenti   9 αὐτὸν: αὐτοὶ Vat 2090   10 ἐφευρετὴν S   καταφονεύοντες Λ: καταχώννυντες KOSH v   11 δὲ: δαὶ KO   δὴ post δὲ add (KO)SH v   τοῦ γνόφου γενέσθαι v   12 μὲν om KOSH v   πως δοκεῖ KO   13 μὲν post τότε add KOSH v   14 ὁρᾶται om v   16 νομίζομεν H   γάρ: δὲ KOH v   16-17 ἡ γνῶσις τῆς εὐσεβείας v   17 οἷς: ὅσοις KO   18 ἐγγίνηται v   ἐναντίας H v   20 νοῦς: λόγος KO   21 γενόμενος KOH   τῆς τῶν ὄντων: τῆς ὄντως v   22 ὅσον: ὅσῳ KOSH v   τοσούτῳ KOS v

πλεῖον ὁρᾷ τὸ τῆς θείας φύσεως ἀθεώρητον. καταλιπὼν 377 M. γὰρ πᾶν τὸ φαινόμενον, οὐ μόνον ὅσα καταλαμβάνει ἡ αἴσθησις ἀλλὰ καὶ ὅσα ἡ διάνοια δοκεῖ βλέπειν, ἀεὶ πρὸς τὸ ἐνδότερον ἵεται ἕως ἂν διαδυῇ καὶ τῇ πολυπραγμοσύνῃ τῆς διανοίας πρὸς τὸ ἀθέατόν τε καὶ ἀκατάληπτον κἀκεῖ τὸν θεὸν ἴδῃ. ἐν τούτῳ γὰρ ἡ ἀληθής ἐστιν εἴδησις τοῦ ζητουμένου καὶ ἐν τούτῳ τὸ ἰδεῖν ἐν τῷ μὴ ἰδεῖν, ὅτι ὑπέρκειται πάσης εἰδήσεως τὸ ζητούμενον οἷόν τινι γνόφῳ τῇ ἀκαταληψίᾳ πανταχόθεν διειλημμένον. διό φησι καὶ ὁ ὑψηλὸς Ἰωάννης, ὁ ἐν τῷ λαμπρῷ γνόφῳ τούτῳ γενόμενος, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, οὐ μόνον τοῖς ἀνθρώποις ἀλλὰ καὶ πάσῃ τῇ νοητῇ φύσει τῆς θείας οὐσίας τὴν γνῶσιν ἀνέφικτον εἶναι τῇ ἀποφάσει ταύτῃ διοριζόμενος.

Ὅτε οὖν μείζων ἐγένετο κατὰ τὴν γνῶσιν ὁ Μωϋσῆς, τότε ὁμολογεῖ ἐν γνόφῳ τὸν θεὸν ἰδεῖν, τουτέστι τότε γνῶναι ὅτι ἐκεῖνό ἐστι τῇ φύσει τὸ θεῖον, ὃ πάσης γνώσεώς τε καὶ καταλήψεώς ἐστιν ἀνώτερον. εἰσῆλθε γάρ, φησί, Μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ θεός. τίς θεός; ὃς Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, καθώς φησι Δαβὶδ ὁ ἐν τῷ αὐτῷ ἀδύτῳ μυηθεὶς ἀπόρρητα. ὁ δὲ ἐκεῖ γεγονώς, ἃ προεπαιδεύθη διὰ τοῦ γνόφου πάλιν διὰ τοῦ λόγου διδάσκεται, ὡς ἄν, οἶμαι, παγιώτερον ἡμῖν τὸ περὶ τούτου γένηται δόγμα τῇ θείᾳ φωνῇ μαρτυρούμενον. ἀπαγορεύει γὰρ ἐν πρώτοις ὁ θεῖος

10-11 Joh 1, 18   18-19 Ps 17, 12

ΚΛOSH 1 πλέον KOSH v   ἀθεώρητον: ἀπόρρητον C   4 δυῇ Λ (sed δια superscr Λ²)   καὶ om KOSH v   5 ἀθέατόν: ἀθεώρητον Λ   6 εἰδῇ O   ἐστιν ἡ ἀληθὴς K   7 καὶ: τὸ v   τῷ: τὸ O sed corr O²   μὴ om K et (μ̈ῆ scr) O μ in ras forte ex ν S   ἰδεῖν: νοεῖν KO   9 καὶ om Λ   10 τούτῳ γνόφῳ S   12 τῇ om KSH v   φύσει: κτίσει C   13 διορισάμενος S   15 τὸν θεὸν ἐν γνόφῳ KOH v   τουτέστι om KOSH   τότε: καὶ O   γνῶναι: ἔγνω S   ὅτι: ὅτε Λ sed corr Λ²   16 τε om KO   18 τίς om KOH   ὁ θεός (alt) v om KO   τὸ σκότος v   19 ὁ Δαβὶδ H   ὁ om H   αὐτῷ om KOSH   ἀδύτῳ om v   20 τὰ ἀπόρρητα H v   γεγονονώς per dittog Λ   21 λόγου: γνόφου v   διδάσκει K   22 παγιώτερον: τιμιώτερον KO   γένοιτο KO   τῇ om KO 24 ὁ om H

λόγος πρὸς μηδὲν τῶν γινωσκομένων ὁμοιοῦσθαι παρὰ τῶν ἀνθρώπων τὸ θεῖον, ὡς παντὸς νοήματος τοῦ κατά τινα περιληπτικὴν φαντασίαν ἐν περινοίᾳ τινὶ καὶ στοχασμῷ τῆς θείας φύσεως γινομένου εἴδωλον θεοῦ πλάσσοντος καὶ οὐ θεὸν καταγγέλλοντος. διχῇ δὲ τῆς κατ' εὐσέβειαν ἀρετῆς διῃρημένης εἴς τε τὸ θεῖον καὶ εἰς τὴν τοῦ ἤθους κατόρθωσιν (μέρος γὰρ εὐσεβείας καὶ ἡ τοῦ βίου καθαρότης ἐστί) μαθὼν ἐν πρώτοις ἃ χρὴ περὶ τοῦ θεοῦ γινώσκειν (τὸ δὲ γινώσκειν, τὸ μηδὲν περὶ αὐτοῦ τῶν ἐξ ἀνθρωπίνης καταλήψεως γινωσκομένων εἰδέναι), οὕτω τὸ ἕτερον τῆς ἀρετῆς εἶδος διδάσκεται, μανθάνων ἐν οἵοις ἐπιτηδεύμασιν ὁ ἐνάρετος κατορθοῦται βίος.

Μετὰ τοῦτο ἐν τῇ ἀχειροποιήτῳ σκηνῇ γίνεται. τίς ἀκολουθήσει τῷ διὰ τῶν τοιούτων ὁδεύοντι καὶ ἐπὶ τοσοῦτον ὑψουμένῳ τὸν νοῦν; ὃς καθάπερ τινὰ κορυφὴν ἐκ κορυφῆς μεταλαμβάνων διὰ τῆς τῶν ὑψηλῶν ἀναβάσεως ἀεὶ ἑαυτοῦ γίνεται ὑψηλότερος. πρῶτον κατέλιπε τὴν ὑπώρειαν, πάντων τῶν πρὸς τὴν ἄνοδον ἀτονησάντων ἀποκριθείς, εἶτα δέχεται τῇ ἀκοῇ τὰς τῶν σαλπίγγων φωνὰς τῷ ὕψει τῆς ἀνόδου συνεπαιρόμενος. ἐπὶ τούτοις εἰς τὸ ἀόρατον τῆς θεογνωσίας ἄδυτον παραδύεται, καὶ οὐδὲ ἐν τούτῳ μένει ἀλλ' ἐπὶ τὴν ἀχειροποίητον μεταβαίνει σκηνήν· τῷ ὄντι γὰρ ἐπὶ τοῦτο καταντᾷ τὸ πέρας ὁ διὰ τῶν τοιούτων ἀνόδων ὑψούμενος. δοκεῖ γάρ μοι καὶ καθ' ἕτερον νοῦν διδάσκαλος ἡ οὐρανία σάλπιγξ τῆς ἐπὶ τὸ ἀχειροποίητον παρόδου τῷ ἐπαΐοντι γίνεσθαι. ἡ γὰρ τῶν κατ' οὐρανὸν

13 Marc 14, 58; cf Hebr 9, 11

ΚΛΟSH 2 τινα: τὴν S 4 θείας om v 5 καταγγελλοντος Λ (ευ suprascr et λ alt forsan eras Λ²) δὲ: γὰρ S om KOH 7 τοῦ βίου OH et Λ (at τοῦ et β in ras scr Λ²): τοῦ θείου S τοῦ ἤθους v δὲ post μαθὼν add H 8 τὸ δὲ γινώσκειν Λ: om KOSH γε post δὲ add v ἣν post γινώσκειν add v 9 τῷ μηδὲν S ἑαυτοῦ KO ἀνθρωπίνων καταλήψεων H 10 οὕτως v 14 τῶν om H 17 καταλιπὼν KO κατάλειπε H ὑπώρειαν: ὑπουνον K ὑπούρανον O 24 γάρ: δέ KO καὶ om Λ 25-26 ἐπὶ τὴν . . . πάροδον v 26 παρόδου ΚΛΟS: ἀνόδου H ἐπαΐοντι: ἐπανίοντι H v

θαυμάτων διασκευὴ τὴν ἐμφαινομένην τοῖς οὖσι σοφίαν διαβοῶσα καὶ τὴν μεγάλην τοῦ θεοῦ δόξαν διὰ τῶν φαινομένων διηγουμένη κατὰ τὸ εἰρημένον ὅτι Οἱ οὐρανοὶ διηγοῦνται 380 M. δόξαν θεοῦ· αὕτη τῷ τρανῷ τε καὶ εὐήχῳ τῆς διδασκαλίας σάλπιγξ μεγαλόφωνος γίνεται, καθά φησί τις τῶν προφητῶν, ὅτι ἐσάλπισεν ὁ οὐρανὸς ἄνωθεν. ὁ δὲ κεκαθαρμένος καὶ ὀξὺς τὴν ἀκοὴν τῆς καρδίας, τὴν ἠχὴν ταύτην δεξάμενος, λέγω δὴ τὴν ἐκ τῆς θεωρίας τῶν ὄντων γινομένην πρὸς τὴν τῆς θείας δυνάμεως γνῶσιν, ὁδηγεῖται δι' αὐτῆς πρὸς τὸ ἐκεῖ διαδυῆναι τῇ διανοίᾳ ὅπου ἐστὶν ὁ θεός. τοῦτο δὲ γνόφος ὑπὸ τῆς γραφῆς ὀνομάζεται, ᾧ διερμηνεύεται, καθὼς εἴρηται, τὸ ἄγνωστόν τε καὶ ἀθεώρητον, ἐν ᾧ γενόμενος τὴν ἀχειροποίητον ἐκείνην βλέπει σκηνήν, ἣν διὰ τῆς ὑλικῆς μιμήσεως τοῖς κάτω δείκνυσι.

Τίς οὖν ἡ ἀχειροποίητος ἐκείνη σκηνή, ἡ παραδεικνυμένη τῷ Μωϋσεῖ κατὰ τὸ ὄρος, πρὸς ἣν κελεύεται βλέπων ὡσανεὶ ἀρχέτυπον διὰ τῆς χειροκμήτου κατασκευῆς δεῖξαι τὸ ἀχειροποίητον θαῦμα; Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. στῦλοι χρυσοῖ βάσεσιν ἀργυραῖς ἐνερηρεισμένοι καὶ κεφαλαῖς ὡσαύτως ἀργυραῖς ἐπιπρέποντες. πάλιν ἕτεροι στῦλοι, ὧν κεφαλαὶ μὲν καὶ βάσεις ἐκ χαλκοῦ τῆς ὕλης, τὸ δὲ διὰ μέσου τῶν ἄκρων ἄργυρος. πᾶσι δὲ τούτοις ἔρεισμα μὲν ξύλον ἦν, σηπεδόνα μὴ προσδεχόμενον, ἐν κύκλῳ δὲ κατὰ τὸ φαινόμενον

3-4 Ps 18, 2 6 Sir 46, 17? cf Hom I 21, 388 15 sqq Ex 25-27; cf Philo De vita Moysis II, 71-140 18-19 Ex 25, 40

ΚΛΟSH 1 ἐκφαινομένην v 2 ἡ post δόξαν add KO διὰ om v 6 οὐρανὸς: θεὸς ex Hoeschelio v τε καὶ v post ὀξὺς add τὴν διάνοιαν καὶ H 10 διαδῦναι v 11 ᾧ διερμηνεύεται Λ: ὃ διερμηνεύεται KOS ᾧ δὴ ἑρμηνεύεται H ὃ δὴ ἑρμηνεύεται v 12 γινόμενος v 13 σκηνὴν βλέπει KOSH v 15 τίς: τί v 16 ἐγκελεύεται H βλέπων Λ: βλέπειν v om KOSH ὡσανεὶ: ὡς εἰς v 17 χειροκμήτου Λ^2: χειροτμήτου ΛΟΗ v χειροποιήτου K ἀχειροτμήτου S 19 χρυσοῖ scripsi: χρύσεοι codd 20 ἐνερηρεισμένοι S: ἐρειρισμένοι O ἐρηρεισμένοι KHΛ^2 v ἐνειρησμένοι Λ 22 τὸ δὲ: τὰ δὲ S 23 μὲν om H ξύλον: ξύλινον H v

ἡ αὐγὴ τῶν τοιούτων ὑλῶν περιεκέχυτο. κιβωτός ὡσαύτως ἐν ἀκηράτῳ στίλβουσα χρυσίῳ, τὸ δὲ διερεῖδον τὴν τοῦ χρυσίου περιβολὴν καὶ αὐτὸ ξύλον ἦν σῆψιν οὐ προσδεχόμενον. λυχνία τις ἐπὶ τούτοις, μία μὲν κατὰ τὸν πυθμένα τῆς βάσεως, ἑπτὰ δὲ κλάδοις κατὰ τὸ ἄκρον διῃρημένη, ἰσαρίθμους λύχνους ἐπὶ τῶν κλάδων ἀνέχουσα. χρυσὸς δὲ ἦν τῆς λυχνίας ἡ ὕλη, οὐδὲν τῆς κατασκευῆς κοῖλον ἔχων οὐδὲ ξύλῳ διερειδόμενον. θυσιαστήριον δὲ πρὸς τούτοις καὶ ἱλαστήριον καὶ τὰ λεγόμενα χερουβὶμ ὧν ταῖς πτέρυξιν ἡ κιβωτὸς ἐσκιάζετο. ταῦτα πάντα χρυσὸς ἦν, οὐκ ἐπιπόλαιον παρέχων τῇ ἐπιφανείᾳ τὴν εὔχροιαν, ἀλλὰ δι᾽ ὅλου ὁ αὐτὸς ἦν, μέχρι τοῦ βάθους διηκούσης τῆς ὕλης. ποικίλα τε πρὸς τούτοις ἐξ ὑφαντικῆς φιλοτεχνίας καταπετάσματα, διαφόρων ἀνθῶν ἐπανθήσεις ἀλλήλοις πρὸς τὴν τοῦ ὑφάσματος ὥραν συμπλεκομένων, οἷς διεκρίνετο τῆς σκηνῆς ὅσον ὁρατόν τε καὶ βάσιμόν τισι τῶν ἱερουργούντων ἦν καὶ ὅσον ἄδυτόν τε καὶ ἀνεπίβατον. ὄνομα δὲ τῷ μὲν προτεταγμένῳ ἅγιον ἦν, τῷ δὲ ἀποκεκρυμμένῳ ἁγίων ἅγιον. λουτῆρες ἐπὶ τούτοις καὶ πυρεῖα καὶ ἡ ἔξωθεν τῶν αὐλαίων περιβολὴ καὶ δέρρεις ἐκ τριχῶν καὶ δέρματα πεφοινιγμένα τῷ ἐρυθήματι, καὶ ὅσα ἄλλα διασκευάζει τῷ λόγῳ, τίς ἂν δι᾽ ἀκριβείας λόγος κατανοήσειε;

Ποίων ἀχειροποιήτων ἐστὶ ταῦτα μιμήματα; καὶ τί φέρει

9 cf Hebr 9, 5 17 Ex 26, 33 18 sqq Ex 30, 18

ΚΛΟSH 1 αὐγὴ ΛS v: ἀρχὴ H αὐλὴ KO ὑλῶν: στύλων S περικέχυτο H καὶ κιβωτός τις v ἐν: ἦν S vix intelligens usum ἐν instrumentalis 2 τῷ χρυσίῳ S τῷ χρυσῷ KOH v χρυσίου: χρυσοῦ KO 3 περιβολὴν: ὑπερβολὴν KO 6 λύχνους: τύλους H κύκλους v χρυσῆ KO ἡ post ἦν add Λ 7 ἔχων ΛOH v et forte S: ἔχον $K\Lambda^2$ 10 πάντα ταῦτα KOH v 13-14 διαφόρων . . . ἀλλήλοις Λ (at ἐπανθείσης in -θίσεις corr Λ^2): διαφόρων ἀνθῶν ἐπανθήσεις KO διαφόρων ἄνθων ἐπανθήσεων H διαφόρων ἄνθων ἐπαλλήλοις v διαφόρους ἔχοντα ἐπανθήσεις S 14 ὑφάσματος: φαντάσματος KO συμπλεκομένας S 15 τὸ ante τῆς σκηνῆς add S βασικόν Λ 16 ἦν om H ἄδυτόν: ἀδύνατον O 17-18 τὸ μὲν προτεταγμένον . . . τὸ δὲ ἀποκεκρυμμένον v τῷ post ἦν ex τὸ (K) corr K^2 18 ἅγιον ἁγίων KOSH v λουτὴρ H 19 προβολὴ S καὶ ante δέρρεις om KOH ἐκ om S 20-21 διασκευάζει: διασκεπάζει H

τοῖς ὁρῶσι κέρδος τῶν ἐκεῖ ὀφθέντων ὑπὸ τοῦ Μωϋσέως ἡ διὰ τῆς ὕλης μίμησις; ἀλλ' ἐμοὶ δοκεῖ καλῶς ἔχειν τὸν μὲν ἀκριβῆ περὶ τούτων λόγον καταλιπεῖν ἐκείνοις οἳ Διὰ 381 M. τοῦ πνεύματος τὰ βάθη τοῦ θεοῦ ἐρευνᾶν δύναμιν ἔχουσιν, εἰ δή τις τοιοῦτός ἐστιν, ὡς πνεύματι λαλεῖν μυστήρια, καθώς φησιν ὁ ἀπόστολος. ὃ δὲ παρ' ἡμῶν στοχαστικῶς ὑπονοούντων περὶ τοῦ προκειμένου νοήματος λέγεται, τοῦτο ἐπὶ τῇ κρίσει τῶν ἐντυγχανόντων ποιήσομεν, ὡς ἢ ἀπόβλητον ἢ ἀπόδεκτον νομισθῆναι, ὅπως ἂν ἡ διάνοια τοῦ κρίνειν ἐπεσκεμμένου λογίσηται.

Φαμὲν τοίνυν, ἐν μέρει τὸ ἐν τούτοις μυστήριον τοῦ Παύλου παραγυμνώσαντος βραχεῖαν ἐκ τῶν εἰρημένων ἀφορμὴν λαβόντες, ὅτι ἐν τύπῳ προεπαιδεύθη Μωϋσῆς τὸ περὶ τῆς σκηνῆς τῆς τὸ πᾶν περιεχούσης μυστήριον. αὕτη δ' ἂν εἴη Χριστός, ἡ θεοῦ δύναμις καὶ θεοῦ σοφία, ἡ ἀχειροποίητος οὖσα κατὰ τὴν ἰδίαν φύσιν δέχεται τὸ κατασκευασθῆναι, ὅταν ἐν ἡμῖν δέῃ τὴν σκηνὴν ταύτην παγῆναι, ὥστε τὴν αὐτὴν τρόπον τινὰ καὶ ἀκατάσκευον καὶ κατεσκευασμένην εἶναι, τῷ μὲν προϋπάρχειν ἄκτιστον, τῷ δὲ κατὰ τὴν ὑλικὴν ταύτην σύστασιν κτιστὴν γενομένην.

Τάχα οὐκ ἀσαφὲς τὸ λεγόμενον τοῖς παραδεξαμένοις ἀκριβῶς τὸ τῆς πίστεως ἡμῶν μυστήριον. ἓν γάρ ἐστιν ἐκ πάντων, ὃ καὶ πρὸ αἰώνων ἦν καὶ ἐπ' ἐσχάτων αἰώνων ἐγένετο, ὃ τοῦ μὲν γενέσθαι χρονικῶς οὐκ ἐδέετο· πῶς γὰρ ἂν τὸ πρὸ χρόνων καὶ αἰώνων δεηθείη χρονικῆς

3-5 I Cor 2, 10   5 I Cor 14, 2   15 I Cor 1, 24   22-24 Col 1, 17

ΚΛΟΣΗ 2 διὰ: ἐπὶ SH v   ἀλλά μοι v   4 διερευνᾶν KO 5 δή: om S δ' εἰ O sed εἰ in ras scr videtur O² πνεύματος S 7 τούτου post περὶ add O   8 ποιήσωμεν SH et Λ (sed ο super ω scr Λ²)   11 τοῦ om KOSH   12 παραγυμνώσαντος: παραδηλώσαντος KO   13 λαβόντος H   τὸ: τοῦ O om H   14 τῆς post σκηνῆς om S   15 τοῦ θεοῦ (pr) KOSH v   ἡ τοῦ θεοῦ (alt) v 18 κατασκευασμένην ΛΟ   19 τὸ μὲν . . . τὸ δὲ SH   κατὰ τὴν om v   20 δέξασθαι ante σύστασιν add v   21 οὐκ om KOS μὴ post τοῖς add KOS   παραδοξαμένοις v   22 ἡμῖν S   23 τῶν ante αἰώνων alt add v   25 ἂν om H v   τὸ: τῷ H

γενέσεως; δι᾽ ἡμᾶς δὲ τοὺς ἐξ ἀβουλίας τοῦ εἶναι παραφθαρέντας ἀνεδέξατο τὸ καθ᾽ ἡμᾶς γενέσθαι, ἵνα τὸ ἔξω τοῦ ὄντος γενόμενον εἰς τὸ ὂν πάλιν ἐπαναγάγῃ. τοῦτο δέ ἐστιν ὁ μονογενὴς θεός, ὁ ἐν ἑαυτῷ μὲν περιέχων τὸ πᾶν, πηξάμενος δὲ καὶ ἐν ἡμῖν τὴν ἰδίαν σκηνήν. εἰ δὲ σκηνὴ τὸ τοσοῦτον ἀγαθὸν ὀνομάζεται, ταρασσέσθω μηδὲν ὁ φιλόχριστος, ὡς κατασμικρυνούσης τὸ μεγαλεῖον τῆς φύσεως τοῦ θεοῦ τῆς ἐγκειμένης τῇ λέξει ἐμφάσεως. οὐδὲ γὰρ ἄλλο τι τῶν ὀνομάτων ἄξιον τῆς φύσεως τοῦ σημαινομένου ἐστίν, ἀλλὰ πάντα ὁμοίως ἀποπέπτωκε τῆς ἀκριβοῦς σημασίας, τά τε μικρὰ νομιζόμενα καὶ οἷς τι μέγεθος νοημάτων ἐξ ὑπολήψεως ἐνορᾶται. ἀλλ᾽ ὥσπερ τὰ ἄλλα πάντα κατά τι σημαινόμενον ἕκαστον εὐσεβῶς πρὸς τὴν ἔνδειξιν τῆς θείας δυνάμεως λέγεται, οἷον ὁ ἰατρός, ὁ ποιμήν, ὁ ὑπερασπιστής, ὁ ἄρτος, ἡ ἄμπελος, ἡ ὁδός, ἡ θύρα, ἡ μονή, τὸ ὕδωρ, ἡ πέτρα, ἡ πηγή, καὶ ὅσα ἄλλα περὶ αὐτοῦ λέγεται, οὕτω κατά τινα θεοπρεπῆ σημασίαν καὶ τῷ τῆς σκηνῆς ὀνομάζεται ῥήματι. ἡ γὰρ περιεκτικὴ τῶν ὄντων δύναμις ἐν ᾗ Κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος, ἡ κοινὴ τοῦ παντὸς σκέπη, ὁ ἐν ἑαυτῷ τὸ πᾶν περιέχων, σκηνὴ κυρίως κατονομάζεται.

Ἀνάγκη δὲ πρόσφορον εἶναι τῷ ὀνόματι τὴν ὀπτασίαν, ἑκάστου τῶν ὀφθέντων πρός τινα θεοπρεποῦς ὑπολήψεως θεωρίαν χειραγωγοῦντος. ἐπεὶ οὖν ὁ μέγας ἀπόστολος τὸ καταπέτασμα τῆς κάτω σκηνῆς τὴν σάρκα φησὶν εἶναι, διὰ τὸ ἐκ ποικίλων, οἶμαι, τῶν τεσσάρων στοιχείων ἔχειν τὴν σύστασιν, τάχα καὶ αὐτὸς ἐν ὀπτασίᾳ τῆς σκηνῆς

4-5 Joh 1, 14 18-19 Col 2, 9 24-25 Hebr 10, 20 25 cf Philo De vita Moysis II, 88; Quaest Ex II, 85

ΚΛΟSH 1 γεννήσεως S τὸ εἶναι KOSH v 1-2 παραφθείραντας H v 2 τὸ ante καθ᾽ om S 3 γενώμενον Λ (sed o ex ω corr Λ²) 4 ἑαυτῷ: αὐτῷ KOSH v μὲν om H 5 ἐν om Λ σκηνή: ἐκεινὴ H τὸ om H v 8 τῇ λέξει om KOS 13 τὴν om KOH v 15 ὁ ἄγγελος post ἄρτος add v μονή: νομή Λ 17 κατονομάζεται v 20 αὐτῷ KOSH v ἔχων KOSH 22 ἑκάστου: ἑκάστῳ S θεοπρεποῦς: θεοφιλοῦς S 24 τὸ om H v κάτω om KOS 25 τῶν om S 26 ὁ post αὐτὸς add K

384 M. ταύτης γενόμενος ἐν τοῖς ὑπερουρανίοις ἀδύτοις, ᾧ διὰ τοῦ πνεύματος ἀπεκαλύφθη τὰ τοῦ παραδείσου μυστήρια, καλῶς ἂν ἔχοι τῇ μερικῇ προσέχοντας ἑρμηνείᾳ πᾶσαν τὴν τῆς σκηνῆς θεωρίαν συναρμόζειν τῷ μέρει. γένοιτο δ᾽ ἂν ἡμῖν δι᾽ αὐτῶν τοῦ ἀποστόλου τῶν λόγων ἡ τῶν τῆς σκηνῆς αἰνιγμάτων σαφήνεια. φησὶ γάρ που περὶ τοῦ μονογενοῦς, ὃν ἀντὶ τῆς σκηνῆς νενοήκαμεν, ὅτι Ἐν αὐτῷ ἔκτισται τὰ πάντα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε ἐξουσίαι εἴτε ἀρχαὶ εἴτε κυριότητες εἴτε δυνάμεις. οὐκοῦν στῦλοι ἀργυρολαμπεῖς καὶ χρυσήλατοι καὶ ἀναφορεῖς καὶ δακτύλιοι καὶ τὰ χερουβὶμ ἐκεῖνα, τὰ ταῖς πτέρυξι τὴν κιβωτὸν ἐπικρύπτοντα, καὶ τὰ ἄλλα πάντα ὅσα ἡ τῆς σκηνοπηγίας ὑπογραφὴ περιέχει, εἰ μέν τις πρὸς τὰ ἄνω βλέποι, αἱ ὑπερκόσμιοι δυνάμεις εἰσίν, αἱ ἐν τῇ σκηνῇ θεωρούμεναι, αἱ κατὰ θείαν βούλησιν τὸ πᾶν ὑπερείδουσαι. ἐκεῖ οἱ ἀληθινοὶ ἀναφορεῖς ἡμῶν, οἱ Εἰς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, οἳ καθάπερ δακτυλίοις τισὶ ταῖς ψυχαῖς ἡμῶν ἐνειρόμενοι τῶν σῳζομένων, δι᾽ ἑαυτῶν πρὸς τὸ ὕψος τῆς ἀρετῆς τοὺς κειμένους ἐπὶ γῆς ἀναφέροντες. χερουβὶμ δὲ εἰπὼν ὁ λόγος κατακαλύπτοντα ταῖς πτέρυξι τὰ ἐγκείμενα τῇ κιβωτῷ τῆς διαθήκης μυστήρια βεβαιοῖ τὴν ἀποδοθεῖσαν ἡμῖν περὶ τῆς σκηνῆς θεωρίαν. τὸ γὰρ ὄνομα τοῦτο τῶν περὶ τὴν θείαν φύσιν θεωρουμένων δυνάμεων

2-3 cf II Cor 12, 4 7-9 Col 1, 16 16-17 Hebr 1, 14 20 Ex 25, 18 sqq

ΚΛΟSH Pap (frag. 5 vix legitur 16-17: διακ[ον]ί[αν] - [μέλλοντα]ς κλη[ρονομεῖν . . . .]) 1 ταύτης om KOSH v 3 προσέχοντες KO προσχόντος H 4 συναρμόζειν: προσαρμόζειν Λ Vat 2090 Mess 50 forte recte συναρμόσαι C 5 διὰ τῶν τοῦ ἀποστόλου λόγων S δι᾽ αὐτὸν τοῦ ἀποστόλου τὸν λόγον H δι᾽ αὐτῶν τῶν τοῦ ἀποστόλου λόγων v 6 αἰνιγμάτων: ὀνομάτων KO 7 τῆς om H νενοήκαμεν Λ v: παρειλήφαμεν KOSH ἐκτίσθη KOH v τὰ ante πάντα om S 8 τε ante καὶ add H v 8-9 ἀρχαὶ . . . ἐξουσίαι S 12 τἄλλα H v ἡ om H σκηνοπηγίας: σκηνῆς ἡ H 13 γραφὴ KO τὰ ἄνω: τὸ ἄνω KOS τὸν νοῦν H σκοπῶν post βλέποι add v 14 αἱ om Λ 15 ἐκεῖ οἱ: ἐκεῖνοι v 16 ἀναστελλόμενοι v 18 τῶν σῳζομένων ἡμῶν ἐνειρόμενοι S 19 τῆς γῆς v 22 περὶ: παρὰ v om KO 23 τῶν: τὸ H

μεμαθήκαμεν ἃς Ἡσαΐας καὶ Ἰεζεκιὴλ κατενόησαν. ἡ δὲ κιβωτὸς τῆς διαθήκης κεκαλυμμένη ταῖς πτέρυξι μὴ ξενιζέτω τὴν ἀκοήν. καὶ γὰρ ἐν τῷ Ἡσαΐᾳ τὸ ὅμοιον ἔστι μαθεῖν ἐν αἰνίγματι παρὰ τοῦ προφήτου περὶ τῶν πτερύγων λεγομένον. τὸ αὐτὸ γὰρ ἐνταῦθα μὲν κιβωτὸς διαθήκης, ἐκεῖ δὲ πρόσωπον ὀνομάζεται καὶ καλύπτεται διὰ τῶν πτερύγων· ὧδε μὲν ἡ κιβωτός, ἐκεῖ δὲ πρόσωπον, ὡς ἑνὸς ὄντος τοῦ ἐν ἀμφοτέροις νοουμένου, ὅπερ μοι δοκεῖ τὸ ἀκατάληπτον τῆς τῶν ἀπορρήτων θεωρίας αἰνίττεσθαι. κἂν περὶ λύχνων ἀκούσῃς πολυσχιδῶς ἐκ μίας λυχνίας ἀνεχομένων, ὥστε ἄφθονον εἶναι καὶ δαψιλὲς τὸ φῶς πανταχόθεν λαμπόμενον, οὐκ ἂν ἁμάρτοις τὰς πολυειδεῖς τοῦ πνεύματος μαρμαρυγὰς διαπρέπειν ταύτῃ τῇ σκηνῇ λογιζόμενος, καθὼς Ἡσαΐας φησίν, ἑπταχῇ διαιρῶν τὰς λαμπηδόνας τοῦ πνεύματος. τὸ δὲ ἱλαστήριον οὐδὲ ἑρμηνείας οἶμαι προσδεῖσθαι, τοῦ ἀποστόλου τὸ κεκρυμμένον ἀπογυμνώσαντος, ὅς φησιν ὅτι Ὃν προέθετο ὁ θεὸς ἱλαστήριον. θυσιαστήριον δὲ καὶ θυμιατήριον ἀκούων νοῶ τὴν διηνεκῶς ἐπιτελουμένην τῇ σκηνῇ ταύτῃ τῶν ἐπουρανίων προσκύνησιν. οὐ γὰρ μόνον ἐπιγείων καὶ ὑποχθονίων ἀλλὰ καὶ τῶν ἐπουρανίων τὴν γλῶσσάν φησιν ἀναπέμπειν τὸν αἶνον τῇ τῶν πάντων ἀρχῇ. τοῦτο δέ ἐστιν ἡ κεχαρισμένη τῷ θεῷ θυσία, τὸ κάρπωμα τῶν χειλέων, καθώς φησιν ὁ

1 Isai 6, 2 (Seraphim); Ezech 10, 1 sqq 13-14 Isai 6, 2; cf Philo Quaest Ex II, 65 16 Rom 3, 25 19-20 cf Phil 2, 10 22 Hebr 13, 15; cf Isai 57, 19

ΚΛΟSH 1 ὁ Ἡσαΐας . . . ὁ Ἰεζεκιὴλ ΚΟΗ v 4 λεγόμενον περὶ τῶν πτερύγων ΚΟ 5-6 τὸ αὐτὸ . . . διὰ τῶν πτερύγων Λ et (cum κιβωτὸν vice -τὸς) H: per hom om v 6-7 καὶ καλύπτεται . . . ἐκεῖ δὲ πρόσωπον om ΚΟS 7 διὰ τῶν πτερύγων iterum post κιβωτός scr H 8 τὸ δὲ Λ 9 αἰνίσσεσθαι H v πολυσχεδῶς H -σχιδῶν Κ -σχεδῶν Ο 10 ὥστε: ὡς τὸ Λ (at corr Λ²) 11 περιλαμπόμενον ΚΟ 12 πολυειδεῖς: πολυσχιδεῖς ΚΟS πολυσχεδεῖς H 13 καθώς φησιν ὁ Ἡσαΐας Mess 50 et Vat 2090 15 οἶμαι om H προσδεέσθαι H v 16 γυμνώσαντος ΚΟS ὅτι om Λ 16-17 post ἱλαστήριον add τῶν ψυχῶν ἡμῶν v 18 οὐρανίων ΚΟ 19 ὑπερχθονίων v καταχθονίων Mess 50 Vat 444 21 τῶν om ΚΟSH τοῦτο δέ ἐστιν om H

ἀπόστολος, καὶ τῶν προσευχῶν ἡ εὐωδία. εἰ δὲ καὶ δέρμα ἐν τούτοις ὁρᾶται πεφοινιγμένον βαφῇ καὶ τρίχες ἐξυφανθεῖσαι, οὐδὲ οὕτως ὁ εἱρμὸς τῆς θεωρίας διακοπήσεται. ὁ γὰρ προφητικοῖς ὀφθαλμοῖς ἐν τῇ τῶν θείων ὀπτασίᾳ γενόμενος, ἐκεῖ κατόψεται προωρισμένον τὸ σωτήριον πάθος, ὅπερ
385 M. ἐν ἑκατέρῳ τῶν εἰρημένων σημαίνεται· τοῦ μὲν ἐρυθήματος τὸ αἷμα, τῆς δὲ τριχὸς ἑρμηνευούσης τὴν νέκρωσιν. ἄμοιρος γὰρ αἰσθήσεως ἡ θρὶξ ἐν τῷ σώματι, διὸ κυρίως νεκρότητος γίνεται σύμβολον.

Ὅταν μὲν οὖν τὴν ἄνω σκηνὴν βλέπῃ, διὰ τούτων ὁ προφήτης ὁρᾷ, εἰ δέ τις τὴν κάτω σκηνὴν θεωροίη, ἐπειδὴ πολλαχῇ Χριστὸς ἡ ἐκκλησία παρὰ τοῦ Παύλου κατονομάζεται, καλῶς ἂν ἔχοι τοὺς ὑπηρέτας τοῦ θείου μυστηρίου, οὓς καὶ στύλους τῆς ἐκκλησίας ὀνομάζει ὁ λόγος, ἀποστόλους τε καὶ διδασκάλους καὶ προφήτας τὰ ὀνόματα ταῦτα νομίζειν εἶναι. οὐ γὰρ μόνον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης στῦλοι τῆς ἐκκλησίας εἰσίν, οὐδὲ μόνος ὁ βαπτιστὴς Ἰωάννης ὁ λύχνος ἦν ὁ καιόμενος, ἀλλὰ πάντες οἱ δι' ἑαυτῶν τὴν ἐκκλησίαν ἐρείδοντες καὶ οἱ διὰ τῶν ἰδίων ἔργων φωστῆρες γινόμενοι καὶ στῦλοι καὶ λύχνοι λέγονται. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, φησὶ πρὸς τοὺς ἀποστόλους ὁ κύριος. καὶ πάλιν ἑτέρους ὁ θεῖος ἀπόστολος στύλους εἶναι διακελεύεται λέγων· Ἑδραῖοι γίνεσθε καὶ ἀμετακίνητοι. καὶ τὸν Τιμόθεον καλὸν στῦλον ἐτεκτήνατο ποιήσας αὐτόν,

1 cf Apoc 5, 8 11-13 Eph 1, 23; Col 1, 18; I Cor 12, 12, et alibi 14 Gal 2, 9 16-17 Gal 2, 9 17-18 Joh 5, 35 19 cf Phil 2, 15 20-21 Matth 5, 14 23 I Cor 15, 58

ΚΛΟSH 3 οὕτως: οὗτος v 4 προφητικὸς ὀφθαλμὸς v γινόμενος v 5 κατόψεται: καθεώραται ex Hoeschelio v προσωρισμένον v om KOS 8 αἰσθήσεως post θρὶξ coll H post σώματι coll Λ τρὶξ v ἐν om v 10 ταῦτα post βλέπῃ add v 11 τις: εἰς Λ (in quo casu ὁ προφήτης ecclesiam spectare diceretur) 13 καλὸς O 14-18 ὀνομάζει . . . γὰρ om Λ κατονομάζει H v 15 ὀνομάζειν H v 16 μόνος Λ Ἰωάννης καὶ Ἰάκωβος v 18 ὁ ante λύχνος om KOSH ὁ post ἦν om KOSH v δι' αὐτῶν S 20 λέγονται: γίνονται Λ 23 καὶ pr om KO

καθώς φησι τῇ ἰδίᾳ φωνῇ, Στῦλον καὶ ἑδραίωμα τῆς ἀληθείας. ἐν ταύτῃ τῇ σκηνῇ καὶ θυσία τῆς αἰνέσεως καὶ θυμίαμα τῆς προσευχῆς ἐν τῷ ὄρθρῳ καὶ ἐν τῇ ἑσπέρᾳ ἐνεργουμένη διὰ παντὸς καθορᾶται. νοεῖν δὲ καὶ δίδωσι ταῦτα ὁ μέγας Δαβίδ, κατευθύνων εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ τῆς προσευχῆς τὸ θυμίαμα καὶ διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ἱερουργῶν τὴν θυσίαν. λουτῆρας δέ τις ἀκούων νοήσει πάντως τοὺς διὰ τοῦ μυστικοῦ ὕδατος τὸν μολυσμὸν ἀποκλύζοντας τῶν ἁμαρτιῶν. λουτὴρ ἦν ὁ Ἰωάννης ἐν τῷ Ἰορδάνῃ λούων τῷ τῆς μετανοίας βαπτίσματι, λουτὴρ ὁ Πέτρος τρισχιλίους κατὰ ταὐτὸν καθάπαξ κατάγων ἐπὶ τὸ ὕδωρ, λουτὴρ τοῦ Κανδάκης ὁ Φίλιππος καὶ πάντων πάντες τῶν μετεχόντων τῆς δωρεᾶς οἱ ἐνεργοῦντες τὴν χάριν.

Τὰς δὲ αὐλαίας αἳ διὰ τῆς μετ' ἀλλήλων συμβολῆς τὴν σκηνὴν ἐν κύκλῳ διαλαμβάνουσι, τὴν ἀγαπητικήν τε καὶ εἰρηνικὴν τῶν πιστευόντων ὁμόνοιαν εἶναί τις ὑπονοῶν οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος· οὕτω τοῦ Δαβὶδ ἑρμηνεύσαντος, ὅς φησιν ὅτι Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην. δέρμα δὲ πεφοινιγμένον καὶ δέρρεις ἀπὸ τριχῶν πρὸς κόσμον τῆς σκηνῆς συντελοῦσαι καταλλήλως ἂν νοηθεῖεν ἥ τε νέκρωσις τῆς ἁμαρτητικῆς σαρκός, ἧς αἴνιγμα τὸ πεφοινιγμένον δέρμα ἐστί, καὶ ἡ τραχεῖα διαγωγὴ κατ' ἐγκράτειαν, οἷς ὡραΐζεται μάλιστα ἡ

1 I Tim 3, 15 4 sqq Ps 140, 2; cf Eph 5, 2 10-11 Act Ap 2, 41 12 Act Ap 8, 27 sqq 18 Ps 147, 3 21 cf Rom 8, 3

ΚΛΟSH 1 τῇ ἰδίᾳ φωνῇ καθώς φησι Λ στύλος ΚΟ ἀληθείας: ἐκκλησίας C ἐκκλησίας ἀληθείας v 3 ἐν (pr): ἡ ΚΟΗ v ἐν (alt) om ΚΟSH v ἐνεργουμένη v perperam ἐνεργούμενα S 4 διὰ παντὸς om S καὶ om ΚΛΟS v 5 Δαυῒδ v 9 ἐν post λούων add v 10 ἦν post λουτὴρ add v 11 κατὰ ταὐτὸ S et Λ² (ex κατ' αὐτὸ corr) καθάπαξ om Λ et Mess 50 forte recte ut puto 11-12 τοῦ Κανδάκης ego scripsi (i.e. 'hominis Candaces reginae' uti Act 8, 27): τοῦ Κανδάκου omnes codd haud scio an ex errore notarii Gregorii, at vix e patre ipso quamquam iam in margine hic notant καὶ οὕτως (οὕτως ὡς Z) ὁ θεόλογος Γρηγόριος τὸ Κανδάκου ὄνομα ἐπὶ τοῦ εὐνούχου γινώσκει ταττόμενον, οὐκ ἐπὶ τῆς βασιλίσσης Αἰθιόπων καθά τισι ἔδοξεν SZ 14 δὲ: τε ΚΟSH 17 οὕτως H 17-18 οὕτω . . . εἰρήνην om ΚΟS forsan recte 18 ὁ τιθεὶς Λ: θεὶς ΚΟSH v 19 δέρρις ΚΛΟ 21 ἧς: εἰς H 22 ἐπικράτειαν ut vid S (et Z)

τῆς ἐκκλησίας σκηνή. τὰ γὰρ δέρματα ζωτικὴν ἐν ἑαυτοῖς οὐκ ἔχοντα δύναμιν τὴν ἐκ φύσεως τῇ βαφῇ τοῦ ἐρυθήματος εὐανθῆ γίνεται, ὅπερ διδάσκει τὴν διὰ τοῦ πνεύματος ἐπανθοῦσαν χάριν μὴ ἐν ἑτέροις γίνεσθαι, εἰ μή τινες ἑαυτοὺς τῇ ἁμαρτίᾳ νεκρώσειαν. εἰ δὲ καὶ ἡ σώφρων αἰδὼς ἐν τῇ βαφῇ τοῦ ἐρυθήματος ὑπὸ τοῦ λόγου σημαίνεται, ἐπὶ τῷ βουλομένῳ ποιοῦμαι τὴν κρίσιν. ἥ τε τῶν τριχῶν συμπλοκὴ τραχύ τε καὶ δυσυφὲς ἀπεργαζομένη ἐξύφασμα τὴν 388 M. τραχεῖαν ταύτην καὶ δαπανητικὴν τῶν καθομιλούντων παθῶν ἐγκράτειαν ὑπαινίσσεται. τὰ δὲ τοιαῦτα πάντα δείκνυσιν ἐφ' ἑαυτῆς ἡ ἐν παρθενίᾳ ζωὴ ἡ τὴν σάρκα τῶν οὕτω βιούντων ὑπωπίαζουσα. εἰ δὲ τὸ ἔνδον, ὅπερ ἁγίων ἅγιον λέγεται, τοῖς πολλοῖς ἐστιν ἀνεπίβατον, μηδὲ τοῦτο ἀπᾴδειν τῆς τῶν νοηθέντων ἀκολουθίας νομίσωμεν. ἀληθῶς γὰρ ἅγιόν τι χρῆμά ἐστι καὶ ἁγίων ἅγιον καὶ τοῖς πολλοῖς ἄληπτόν τε καὶ ἀπρόσιτον ἡ τῶν ὄντων ἀλήθεια. ἧς ἐν τοῖς ἀδύτοις τε καὶ ἀπορρήτοις τῆς τοῦ μυστηρίου σκηνῆς καθιδρυμένης, ἀπολυπραγμόνητον εἶναι χρὴ τῶν ὑπὲρ κατάληψιν ὄντων τὴν κατανόησιν, πιστεύοντας εἶναι μὲν τὸ ζητούμενον, οὐ μὴν τοῖς ὀφθαλμοῖς πάντων προκεῖσθαι, ἀλλ' ἐν τοῖς ἀδύτοις τῆς διανοίας μένειν ἀπόρρητον.

Ταῦτα δὲ καὶ τὰ τοιαῦτα παιδευθεὶς διὰ τῆς κατὰ τὴν σκηνὴν ὀπτασίας ὁ κεκαθαρμένος ἐκεῖνος ὀφθαλμὸς τῆς Μωϋσέως ψυχῆς καὶ διὰ τῶν τοιούτων ὑψωθεὶς θεαμάτων, πάλιν πρὸς κορυφὴν ἄλλων νοημάτων ἀναβιβάζεται, τὸν

ΚΛΟSH 1-2 οὐχ ἔχοντα ἐν ἑαυτοῖς coll Λ 3 γίνονται H ὅπερ: ὅθεν KO ἅγιου πνεύματος Λ 4 ἑτέροις (i.e. 'gratia in nullis fit nisi in eis qui', etc): sed ἀνθρώποις coni Daniélou latinam Trapezuntii ('in homine') secutus γενέσθαι KO 5 νεκρώσαιεν SH v 6 ἐν: οὐ in uncis v 7 τε: δὲ v 8 δυσαφὲς S v 9 δανητικὴν ut vid S (et πα superscr Z) καθομιλούντων: καθόλου S 10-12 τὰ δὲ . . . ὑπωπιάζουσα ΛH(v): om KOS 12 ὑποπιέζουσα v ἅγιον ἁγίων KOSH v 13 ἀπᾴδειν SH v: ἀποδεῖν KO αὖ πάλιν Λ quod vix intellegitur 14 τι: τὸ KO 16 τε om Λ 19 πιστεύοντες S 20 προσκεῖσθαι Λ (sed corr Λ²) 24 ἐκείνης ante ψυχῆς add v ut lemma περὶ τῆς ἱερᾶς στολῆς O idemque in margine K

στολισμὸν τῆς ἱερωσύνης ἐκπαιδευόμενος. ἐν οἷς ἐστιν ὅ τε ὑποδύτης καὶ ὁ ἐπενδύτης καὶ τὸ προστήθιον ἐκεῖνο ταῖς ποικίλαις τῶν λίθων αὐγαῖς περιλαμπόμενον, καὶ ἡ περὶ τὴν κεφαλὴν ταινία καὶ τὸ ἐπ' αὐτῆς πέταλον, ἡ περισκελίς, οἱ ῥοΐσκοι, οἱ κώδωνες, εἶτα ὑπεράνω πάντων τὸ λόγιόν τε καὶ ἡ δήλωσις καὶ ἡ ἐπ' ἀμφοῖν θεωρουμένη ἀλήθεια, αἵ τε συνδετικαὶ τούτων ἑκατέρωθεν ἐπωμίδες ἐγκεκολλαμμέναι τῶν πατριαρχῶν τὰ ὀνόματα, ὧν ὑποτέμνεται τὸ πλῆθος τῆς καθ' ἕκαστον ἀκριβοῦς θεωρίας αὐτὰ τῆς περιβολῆς τὰ ὀνόματα. ποίων γὰρ σωματικῶν ἐσθημάτων ὄνομα δήλωσις ἢ λόγιον ἢ ἀλήθεια; ἢ δηλονότι δείκνυται διὰ τούτων τὸ μὴ ταύτην τὴν αἰσθητὴν περιβολὴν διὰ τῆς ἱστορίας ἡμῖν ὑπογράφεσθαι, ἀλλά τινα ψυχῆς κόσμον διὰ τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων ἐξυφαινόμενον.

Ὑάκινθός ἐστιν ἡ τοῦ ποδήρους βαφή. φασὶ δέ τινες τῶν πρὸ ἡμῶν τεθεωρηκότων τὸν λόγον τὸν ἀέρα σημαίνεσθαι τῇ βαφῇ. ἐγὼ δὲ εἰ μέν τι τὸ τοιοῦτον τοῦ χρώματος ἄνθος πρὸς τὸ ἐναέριον χρῶμα συγγενῶς ἔχει, ἀκριβῶς οὐκ ἔχω διϊσχυρίζεσθαι. τὸν μέντοι λόγον οὐκ ἀποβάλλω. συντείνει γὰρ πρὸς τὴν κατ' ἀρετὴν θεωρίαν τὸ νόημα, ὅτι βούλεται τὸν μέλλοντα θεῷ ἱερᾶσθαι καὶ τὸ ἑαυτοῦ προσάγειν σῶμα τῇ ἱερουργίᾳ καὶ σφάγιον γίνεσθαι μὴ νεκρούμενον, ἐν τῇ ζώσῃ θυσίᾳ καὶ λογικῇ λατρείᾳ, μὴ παχείᾳ τινὶ καὶ πολυσάρκῳ τῇ τοῦ βίου περιβολῇ καταβλάπτειν τὴν ψυχήν, ἀλλ' ἀπολεπτύνειν, οἷόν τι ἀράχνιον νῆμα, τῇ καθαρότητι τῆς ζωῆς

23 Rom 12, 1; cf Philo De vita Moysis II, 117 sqq, Quaest Ex II, 117

ΚΛΟSH 2 ὁ (ante ἐπενδύτης) om H   προσστήθιον Λ   3 αὐγαῖς: αἴγλαις SH v   5 τὸ ὑπεράνω KO   λογεῖόν H   8 ὧν om Λ   10 ποίων: ποῖον SH v   σωματικῶν ἐσθημάτων Λ (at ἐσθη- ex litt oblitt corr Λ²) v: αἰσθητῶν KOH   αἰσθητὸν S   11 λογεῖον H   δῆλον ὅτι KOS   τὸ om KOSH   13 ἀπογράφεσθαι Λ   κόσμον ψυχῆς v   17 τὸ τοιοῦτον τοῦ Λ v: τοιοῦτον (-το S) τὸ τοῦ KO(S)H   18 ἐναέριον: ἀέριον KOSH v   19 συντείνῃ H   20 τὸ om v   21 τῷ θεῳ H v   22 μὴ om SH   24 τῇ om KOSH v   καταβλάπτειν: καταβάπτειν KO

πάντα τὰ τοῦ βίου ἐπιτηδεύματα καὶ ἐγγὺς εἶναι πρὸς τὸ ἀνωφερές τε καὶ κοῦφον καὶ ἐναέριον, τὴν σωματώδη ταύτην μετακλῶσαι φύσιν ἵνα, ὅταν τῆς ἐσχάτης ἀκούσωμεν σάλπιγγος, ἀβαρεῖς τε καὶ κοῦφοι πρὸς τὴν φωνὴν τοῦ κελεύοντος εὑρεθέντες, μετάρσιοι δι' ἀέρος ἅμα τῷ κυρίῳ φερώμεθα ὑπὸ μηδενὸς βάρους ἐπὶ τὴν γῆν καθελκόμενοι. ὁ γάρ, κατὰ τὴν τοῦ ψαλμῳδοῦ ὑποθήκην, Ἐκτήξας ὡς ἀράχνην τὴν ἑαυτοῦ ψυχήν, τὸν ἀερώδη ἐκεῖνον χιτῶνα
389 M. περιεθήκατο ἐκ κεφαλῆς εἰς ἄκρους πόδας διήκοντα. οὐ γὰρ βούλεται τὴν ἀρετὴν κολοβοῦσθαι ὁ νόμος. ἡ οὖν λαμπηδὼν τῶν καλῶν ἔργων οἱ χρυσοῖ κώδωνές εἰσι τοῖς ῥοΐσκοις περιδονούμενοι. δύο γάρ ἐστι ταῦτα ἐπιτηδεύματα, δι' ὧν ἡ ἀρετὴ συναγείρεται· ἥ τε περὶ τὸ θεῖον πίστις καὶ ἡ περὶ τὸν βίον συνείδησις. τούτους προστίθησι τῷ ἐνδύματι τοῦ Τιμοθέου τοὺς ῥοΐσκους τε καὶ τοὺς κώδωνας ὁ μέγας Παῦλος, εἰπὼν αὐτὸν ἔχειν δεῖν πίστιν καὶ ἀγαθὴν συνείδησιν.

Οὐκοῦν ἡ μὲν πίστις καθαρὸν ἠχείτω καὶ μεγαλόφωνον ἐν τῷ τῆς ἁγίας τριάδος κηρύγματι, ὁ δὲ βίος μιμείσθω τοῦ καρποῦ τῆς ῥοιᾶς τὴν φύσιν. ἐκείνης τε γὰρ ἄβρωτός ἐστιν ἡ ἐπιφάνεια στερρῷ τε καὶ κατεστυμμένῳ τῷ ἐλυτρῷ διειλημμένη, τὸ δὲ ἐγκείμενον ἡδὺ μὲν ὀφθῆναι τῷ ποικίλῳ τε καὶ εὐκόσμῳ τῆς τοῦ καρποῦ διαθέσεως, ἥδιον δὲ τῇ γεύσει γίνεται, καταγλυκαῖνον τὴν αἴσθησιν. ἥ τε φιλόσοφος καὶ κατεστυμμένη διαγωγὴ δύσληπτός τις οὖσα καὶ ἀηδὴς τῇ αἰσθήσει πλήρης ἀγαθῶν ἐλπίδων ἐστὶ κατὰ τὸν ἴδιον καιρὸν πεπανθεῖσα. ἐπειδὰν γὰρ ὁ γεωργὸς

4 sqq cf I Thess 4, 16 sqq 7-8 Ps 38, 12 16 I Tim 1, 19

ΚΛΟΣΗ 1 τὰ om O καὶ post εἶναι add Λ 3 μετακλώσαντα S μετακλάσαι v φύσιν post ταύτην coll v ὅτε Λ 6 φερόμεθα O 7 ὁ γάρ ΚΛΟΗ: ὃς S οὐκοῦν ὁ v ψαλμῳδοῦ: ψαλμοῦ Λ 9 περιεθήκατο: περιεβάλετο v 10 κολοβοῦσθαι τὴν ἀρετὴν ΚΟΗ v 11 χρυσοῖ: χρύσεοι scripsit Daniélou 13 τε om v περὶ: εἰς v τὸ θεῖον: τὸν θεὸν v καὶ ἡ περὶ: ἥ τε παρὰ v 16 ἔχειν δεῖν αὐτὸν S 17 μὲν om Λ 19 ῥόας S τε del Daniélou 21 ἐλυτρώδει εἰλημμένη O 23 ἥδιον . . . αἴσθησιν om H 24 κατεστυμμένη: κατεσκλημμένη C κατεσκληκυῖα v 26 καιρὸν: καρπὸν v

ἡμῶν ἀναπτύξῃ τοῦ βίου τὴν ῥοιὰν τῷ ἰδίῳ καιρῷ καὶ ἀποδείξῃ τῶν ἀποθέτων τὸ κάλλος, τότε γλυκεῖα γίνεται τοῖς ἀπολαύουσιν ἡ μετουσία τῶν ἰδίων καρπῶν. φησὶ γάρ που καὶ ὁ θεῖος ἀπόστολος ὅτι Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι ἀλλὰ λύπης, τουτέστι τῆς ῥοιᾶς τὸ προεντύγχανον τοῖς ἁπτομένοις, ὕστερον δὲ καρπὸν εἰρηνικὸν ἀποδίδωσι· τοῦτο ἡ τῶν ἔνδοθεν ἐδωδίμων γλυκύτης. τὸν δὲ χιτῶνα τοῦτον καὶ κοσυμβωτὸν ὁ νόμος εἶναι διακελεύεται. κόσυμβοι δέ εἰσιν αὐτῷ τὰ ἔξω τῆς χρείας κόσμου χάριν ἀπηρτημένα σφαιροειδῆ ἀπαρτήματα. μανθάνομεν δὲ διὰ τούτων τὸ δεῖν μὴ τῇ ἐντολῇ μόνῃ τὴν ἀρετὴν μετρεῖσθαι, ἀλλά τι καὶ παρ' ἡμῶν ἐξευρίσκεσθαι διὰ τῶν ἔξωθεν παρεπινοουμένων, ὡς ἂν προσθήκη τις κόσμου γένοιτο τῷ ἐνδύματι, οἷος ὁ Παῦλος ἦν, τοὺς καλοὺς παρ' ἑαυτοῦ κοσύμβους ταῖς ἐντολαῖς συμπλέκων. τοῦ γὰρ νόμου κελεύοντος τοὺς τῷ θυσιαστηρίῳ παρεδρεύοντας τῷ θυσιαστηρίῳ συμμερίζεσθαι καὶ τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκεῖθεν ζῆν, οὗτος ἀδάπανον ποιεῖται τὸ εὐαγγέλιον πεινῶν καὶ διψῶν καὶ γυμνητεύων. οὗτοί εἰσιν οἱ κόσυμβοι οἱ τὸν χιτῶνα τῶν ἐντολῶν τῇ παρ' ἑαυτῶν προσθήκῃ κατακοσμοῦντες.

Εἶτα δύο πέπλοι ἄνωθεν ἐπιβάλλονται τῷ ποδήρει ἐκ τῶν ὤμων μέχρι τοῦ στήθους καὶ τῶν μεταφρένων καθήκοντες,

4-5 Hebr 12, 11   16-17 I Cor 9, 13-14   18 cf II Cor 11, 7   18-19 I Cor 4, 11

ΚΛΟSH 1-2 τοῦ . . . δείξῃ om O   ῥόαν S   2 ἀποδείξῃ Λ: δείξῃ KOSH v   3 ἡ . . . καρπῶν om KO   τῇ μετουσίᾳ H   5 τοῦτό ἐστι v   8 τοῦτον: αὐτοῦ τὸν KO   νόμος: λόγος H v   εἶναι post κοσυμβωτὸν coll KOSH v   9 αὐτῷ om KOSH v   10 ἀπηρτισμένα KO   ἀπηρτίσματα KO   11 ἐν post μὴ add K   μόνῃ ΛS: μόνον KOH v   13 τοῦ κόσμου SH v   γένηται KO   14 αὐτοῦ KO   15 συμπλέκει H   16 παραδρεύοντας O: προσεδρεύοντας v   17 post συμμερίζεσθαι add καὶ μὴ κωλύοντος ἀδελφὴν γυναῖκα περιάγειν quod forsan ad subintroductas seu agapetas referri possit Mess 50 Q v   18 οὗτος: οὕτως H   post εὐαγγέλιον add ὁ Παῦλος H   19 γυμνιτεύων Λ   καλοὶ ante κόσυμβοι add v   τῆς τῶν ἐντολῶν ἀρετῆς KO   20 παρ' om KOSH   23 διήκοντες H

δύο πόρπαις καθ' ἕτερον ὦμον ἀλλήλοις ἑνούμενοι. αἱ δὲ πόρπαι λίθοι εἰσὶ τὰ τῶν πατριαρχῶν ὀνόματα ἓξ καθ' ἑκάτερον ἐν τοῖς χαράγμασι φέρουσαι. ποικίλη δὴ τῶν πέπλων ἡ ἱστουργία· ὑάκινθος μὲν πορφύρᾳ συμπέπλεκται, τὸ δὲ τοῦ κόκκου ἐρύθημα τῇ βύσσῳ μίγνυται, πᾶσι δὲ τούτοις τὸ ἐκ χρυσοῦ νῆμα συγκατασπείρεται, ὥστε τῆς πολυειδοῦς ταύτης βαφῆς μίαν τινὰ συγκε-
392 M. κραμμένην ὥραν ἐκ τοῦ ὑφάσματος ἀπαυγάζεσθαι. ἃ δὲ διὰ τούτων μανθάνομεν ταῦτά ἐστιν, ὅτι τὰ ἄνω τῆς περιβολῆς, ὅσα τῆς καρδίας ἰδίως γίνεται κόσμος, ἐκ πολλῶν καὶ διαφόρων ἀρετῶν κατακίρναται. ἡ οὖν ὑάκινθος τῇ πορφύρᾳ συμπλέκεται· τῇ γὰρ καθαρότητι τῆς ζωῆς ἡ βασιλεία συνέζευκται. κόκκος δὲ τῇ βύσσῳ συναναπλέκεται ὅτι πέφυκέ πως τῷ τῆς αἰδοῦς ἐρυθήματι τὸ λαμπρόν τε καὶ καθαρὸν τοῦ βίου συμφύεσθαι. ὁ δὲ χρυσὸς τοῖς ἄνθεσι τούτοις συμπαραλάμπων τὸν ἀποκείμενον τῷ τοιούτῳ βίῳ θησαυρὸν ὑπαινίσσεται. πατριάρχαι δὲ ταῖς ἐπωμίσιν ἐγγεγραμμένοι οὐ μικρὰ πρὸς τὸν τοιοῦτον ἡμῖν καλλωπισμὸν συνεισφέρουσι· τοῖς γὰρ προλαβοῦσι τῶν ἀγαθῶν ὑποδείγμασι κατακοσμεῖται μᾶλλον ἡ τῶν ἀνθρώπων ζωή.

Πάλιν δὲ τῷ κόσμῳ τῶν πέπλων ἕτερος ἄνωθεν ἐπιβάλλεται κόσμος. ἀσπίδες ἐκ χρυσοῦ καθ' ἑκάτερον τῶν ἐπωμίδων καθειμέναι καὶ δι' ἑαυτῶν ἀνέχουσαί τι χρυσότευκτον ἐν τετραγώνῳ τῷ σχήματι δυοκαίδεκα λίθοις καταλαμπόμενον

ΚΛΟSH 1 ἕτερον: ἑκάτερον SH v 3 δή: δὲ KOSH v 4 πορφύρῳ v συμπλέκεται SH v 5 δὲ om H τοῦ: τῆς KOSH v 6 τοῦ ἐκ χρυσίου v 7 ὥστε . . . ταύτης Λ: ὡς ἐκ τῆς π. ταύτης KH ὡς ἐκ π. ταύτης τῆς O ὡς π. τῆς τοιαύτης S ὡς ἐκ τῆς π. ταύτης τῆς v 10 ἴδιος H 13 ὁ κόκκος H 14 συμπλέκεται v συναναμίγνυται KO πως τῷ: ὡς Λ quod in τῷ corr Λ² 16 συμπεριλάμπων v 17 ὑποκείμενον S 18 μικρὸν S 19 καλλωπισμὸν ἡμῖν v 20 ἀγαθῶν: ἁγίων S 23 ἑκατέρων v 24 καθειμέναι SH v et ut vid Λ² (ubi θει vel θι corr ex litt oblitt man alt): καθιμέναι KO αὐτῶν KO τι: τὴν H 25 τῷ om H

στοιχηδὸν διακειμένοις, τέτταρες δὲ οἱ στοῖχοι τριάδα λίθων ἕκαστος περιέχοντες, ἐν αἷς οὐκ ἦν εὑρεῖν τινα ὁμοειδῆ πρὸς τὴν ἑτέραν, ἀλλ᾽ ἰδιαζούσαις αὐγαῖς ἑκάστη ἐκαλλωπίζετο. τὸ μὲν δὴ σχῆμα τοῦ κόσμου τοιοῦτο. ἡ δὲ διάνοια, ἡ μὲν τῶν ἀσπίδων τῶν καθειμένων ἀπὸ τῶν ὤμων, τὸ περιδέξιον τῆς κατὰ τοῦ ἀντικειμένου ὁπλίσεως ὑπαινίσσεται, ὥστε διχῇ, καθὼς πρόσθεν εἴρηται, τῆς ἀρετῆς κατορθουμένης, διά τε πίστεως καὶ τῆς κατὰ τὸν βίον τοῦτον ἀγαθῆς συνειδήσεως, πρὸς ἀμφότερα κατησφαλίσθαι ταῖς τῶν ἀσπίδων προβολαῖς ἄτρωτον τῶν τοιούτων βελῶν διαμένοντα, Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. τὸ δὲ τετράγωνον ἐκεῖνο κόσμιον, τὸ τῶν ἀσπίδων ἑκατέρωθεν ἐξηρτημένον, ἐν ᾧ εἰσιν οἱ ἐπώνυμοι τῶν φυλῶν πατριάρχαι τοῖς λίθοις κατάγραπτοι, τοῦτο τῆς καρδίας προκάλυμμα γίνεται, παιδεύοντος ἡμᾶς τοῦ λόγου διὰ τοῦ σχήματος, ὅτι ὁ ταῖς δύο ταύταις ἀσπίσι τὸν πονηρὸν ἀποκρουσάμενος τοξότην, πάσαις ταῖς τῶν πατριαχῶν ἀρεταῖς κατακοσμήσει τὴν ἰδίαν ψυχήν, ἄλλου ἄλλως ἐν τῷ πέπλῳ τῆς ἀρετῆς διαλάμποντος. τὸ δὲ τετράγωνον σχῆμα ἔνδειξίς σοι ἔστω τῆς ἐν τῷ καλῷ παγιότητος. δυσμετάθετον γὰρ τὸ τοιοῦτον σχῆμα δι᾽ ἴσου ταῖς γωνίαις ἐπὶ τῆς εὐθείας τῶν πλευρῶν ἐρειδόμενον.

Οἱ δὲ τελαμῶνες, δι᾽ ὧν τὰ προκοσμήματα ταῦτα συνδεσμεῖται πρὸς τοὺς βραχίονας, δόγμα μοι δοκοῦσι πρὸς τὸν

10-11 II Cor 6, 7

ΚΛΟSH 1 στοιχηδὸν ΚΛΗ: στοιχηδὼν Ο στιχηδὸν S v διακειμέναις ΚΟΗ: διακειμέναι Λ διακειμένοις Λ v διακεκριμένοις S τέσσαρες Λ στίχοι ΚΟSH λίθοι v 2 ὁμοφυειδῆ Κ 4 τοιοῦτο: τοῦτο ΚΛΟΗ v ἡ μὲν: ἡμῖν S 5 καθιμένων itacismi gratia ΚΟ 6 ὥστε διχῇ Λ ('duobus scilicet rationibus'): ὡς διχῇ ΚΟ ὡς δεῖ διχῇ Η ὁ διεδείχθη S ὡς ἐδείχθη v 7 μικρῷ post καθὼς add v ἔμπροσθεν Λ 9 χρὴ οὖν ante πρὸς ἀμφότερα add S et lat ἠσφάλισθαι v προσβολαῖς ΚΛΟ v 10-11 διὰ . . . ἀριστερῶν om ΚΟS forte recte 13 τοῖς: ταῖς ΚΟ 15 διὰ τοῦ σχήματος om v ὁ om Ο et S (sed add S² manu rec) lemma περὶ τετραγώνου ἰσογώνου τετραπλεύρου Ο et in margine Κ 16 τοξότην ἀποκρουσάμενος ΚΟSH v 18 πέπλῳ: λόγῳ S 19 τετράγωνον σχῆμα Λ: τετράγωνον ΚΟSH σχῆμα τοῦ τετραγώνου v ἔστω: ἔστι Λ

ὑψηλὸν βίον παρέχεσθαι τοῦ δεῖν συνάπτειν τὴν πρακτικὴν φιλοσοφίαν τῇ κατὰ θεωρίαν ἐνεργουμένῃ, ὡς τὴν καρδίαν μὲν τῆς θεωρίας, τοὺς δὲ βραχίονας τῶν ἔργων σύμβολα γίνεσθαι. κεφαλὴ δὲ κοσμουμένη τῷ διαδήματι τὸν ἀποκείμενον τοῖς εὖ βεβιωκόσι στέφανον ὑποσημαίνεται, ὃν κοσμεῖ ὁ ἐνεσφραγισμένος τῷ χρυσῷ πετάλῳ τοῖς ἀρρήτοις χαράγμασιν. ὑπόδημα δὲ οὐ περιτίθησι τῷ τὸν τοιοῦτον κόσμον ἐνδεδυκότι, ὡς ἂν μὴ βαροῖτο πρὸς τὸν δρόμον καὶ δυσκίνητος εἴη τῇ τῶν νεκρῶν δερμάτων περιβολῇ κατὰ τὴν γενομένην ἐπὶ τῆς τοῦ ὄρους θεωρίας διάνοιαν. πῶς οὖν ἔμελλεν ἀντὶ κόσμου τῷ ποδὶ τὸ ὑπόδημα γίνεσθαι τὸ κατὰ τὴν πρώτην μυσταγωγίαν ὡς ἐμπόδιον τῆς ἀνόδου ἀποβαλλόμενον;

Ὁ δὲ τοσοῦτον διαβὰς διὰ τῶν καθεξῆς θεωρηθεισῶν ἡμῖν ἀναβάσεων τὰς θεοτεύκτους πλάκας διὰ χειρὸς φέρει,
393 M. αἳ θεῖον νόμον ἐν ἑαυταῖς περιέχουσιν. ἀλλὰ συντρίβονται αὗται τῇ τραχύτητι τῆς τῶν ἡμαρτηκότων ἀντιτυπίας περιτριβεῖσαι. τὸ δὲ τῆς ἁμαρτίας εἶδος εἰδωλολατρεία ἦν ἐν ὁμοιώματι μόσχου διαγλυφέντος τοῖς εἰδωλολάτραις τοῦ ἀφιδρύματος, ὃ παρὰ τοῦ Μωϋσέως ἐκλεανθὲν ὅλον συνανελύθη τῷ ὕδατι καὶ ποτὸν τοῖς ἐξημαρτηκόσιν ἐγένετο, ὥστε πάντῃ εἰς ἀφανισμὸν μεταχωρῆσαι τὴν ὕλην, τὴν τῇ ἀσεβείᾳ τῶν ἀνθρώπων ὑπηρετήσασαν. ταῦτα μάλιστα περὶ τῶν νῦν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ γεγενημένων τότε ἡ ἱστορία προφητικῶς ἀνεφώνησε· πᾶσα γὰρ ἡ περὶ τὰ εἴδωλα πλάνη τέλεον ἐξηφανίσθη τοῦ βίου καταποθεῖσα ὑπὸ τῶν εὐσεβῶν στομάτων, τῶν διὰ τῆς καλῆς ὁμολογίας τὸν ἀφανισμὸν τῆς

5-6 Ex 28, 36

ΚΛΟSH 2 ὡς: ὥστε v 5 ὑποσημαίνει Λ ἀποσημαίνει v ὃν: οἷον KO κοσμίῳ O κόσμῳ K ὁ om KO 6 ἐσφραγισμένος S v χρυσῷ om S χρυσέῳ coni Daniélou 8 ἐὰν H βαροῖτο: βαρύνοιτο K βαρύνητο itacismi gratia O 9 γινομένην H 14 ἡμῖν om H 15 αὐταῖς KOH 17 εἰδωλολατρεία: εἰδωλοποιΐα v 18 γλυφέντος H v 20 συνελύθη v συνενεβλήθη S τῶν ἐξημαρτηκότων SH v 21 παντη Λ: παντὶ τρόπῳ KOSH v χωρῆσαι H v τὴν post ὕλην om v ἐν ante τῇ add Λ 22 γὰρ post ταῦτα add Λ καὶ post μάλιστα add v 25 τοῦ βίου om v ὑπὸ: παρὰ SH v 26 τῶν om H καλῆς: ἀγαθῆς v

ἀσεβοῦς ὕλης ἐν ἑαυτοῖς ποιησαμένων. καὶ ὕδωρ γέγονεν ἀτεχνῶς παροδικόν τε καὶ ἀνυπόστατον τὰ πάλαι πεπηγότα παρὰ τοῖς εἰδωλολάτραις μυστήρια, ὕδωρ ὑπ' αὐτῶν τῶν ποτε εἰδωλομανούντων στομάτων καταπινόμενον. ὅταν γὰρ ἴδῃς τοὺς πρότερον τῇ τοιαύτῃ ὑποκύπτοντας ματαιότητι νῦν ἀναιροῦντας ἐκεῖνα καὶ ἀφανίζοντας, ἐν οἷς αὐτῶν ἦν ἡ πεποίθησις, ἆρ' οὐχὶ βοᾶν σοι δοκεῖ φανερῶς ἡ ἱστορία ὅτι καταποθήσεταί ποτε πᾶν εἴδωλον τοῖς στόμασι τῶν πρὸς τὴν εὐσέβειαν ἀπὸ τῆς ἀπάτης μετατεθέντων;

Ὁπλίζει δὲ τοὺς Λευΐτας ὁ Μωϋσῆς κατὰ τῶν ὁμοφύλων. καὶ διαπεράσαντες τὴν παρεμβολὴν ἀπ' ἄκρου πέρατος ἐπὶ τὸ ἕτερον ἄκρον, ἀνεξέταστον ποιοῦνται τῶν ἐντυγχανόντων τὸν φόνον, τῇ ἀκμῇ τοῦ ξίφους τὴν κατὰ τῶν ἀναιρουμένων ἐπιτρέψαντες ψῆφον. ἐπίσης δὲ κατὰ παντὸς τοῦ προστυγχάνοντος ἐνεργουμένου τοῦ φόνου, ὁ διακρίνων ἐν τοῖς ἀναιρουμένοις τὸν φόνον οὐκ ἦν τὸν ἔχθρον ἢ τὸν φίλον, τὸν ξένον ἢ τὸν οἰκεῖον, τὸ συγγενὲς ἢ τὸ ἀλλότριον. ἀλλὰ μία τις χειρὸς ἦν ὁρμὴ κατὰ παντὸς τοῦ προσπίπτοντος ἐπίσης ἐνεργουμένη. ὁ δὲ περὶ τούτου λόγος ταύτην ἡμῖν παρέσχε τὴν ὠφέλειαν. ἐπειδὴ πανδημεὶ πάντες πρὸς τὸ κακὸν συνεφρόνησαν καὶ ὥσπερ εἷς ἐγένετο τῷ λόγῳ τῆς κακίας τὸ στρατόπεδον ἅπαν, ἀδιάκριτος ἡ κατ' αὐτῶν γίνεται μάστιξ. ὡς γάρ τινα τῶν ἐπὶ κακίᾳ πεφωραμένων ὁ πληγαῖς αἰκιζόμενος, ὅ τί περ ἂν τύχῃ τοῦ σώματος, καταξαίνει διὰ τῆς μάστιγος εἰδὼς ὅτι ἡ ἐπὶ μέρους ὀδύνη πρὸς τὸ πᾶν διεξέρχεται,

10-11 Ex 32, 27

ΚΛΟSH 1 αὐτοῖς ΚΟ v αὑτοῖς SH 3 ὡς ὕδωρ Mess 50 et lat 4 στομάτων om S πινόμενον ΚΟ 5 εἴδῃς forte itacismo O ὑποκύπτοντας: ὑποπίπτοντας v 6 ἦν αὐτῶν Λ 7 ἄρα ΛS φανερῶς om KOSH ὅτι om v 9 τὴν om OSH v μεταθέντων H 10 δὲ om KO ἀλλοφύλων Λ 14-15 προτυχόντος v 15 ὁ: οὐ v 16 τὸν φόνον: τῶν ἀνθρώπων H v om KO οὐκ ἦν: οὐκ ἢ S οὐ συνιεὶς v 17 τις: τῆς KSH 18 ὁμοίως ante ἐπίσης add v 19 ἂν ante ἡμῖν add v παράσχοιτο v 21 ὥσπερ in ras scr Λ ἐγένοντο Λ 22 κατ' αὐτῶν: πρὸς αὐτὸν Λ 24 τί om Λ μέλος post σώματος add S atque ita vertit lat 25 ἡ: τῇ ΚΟ διέρχεται KOSH v

οὕτως ὡς παντὸς ὁμοίως κολαζομένου τοῦ εἰς τὴν κακίαν συμφυέντος σώματος ἡ ἐπὶ μέρους ἐνεργουμένη μάστιξ τὸ πᾶν ἐσωφρόνισεν. οὐκοῦν εἴ ποτε τῆς ἴσης κακίας ἐν πολλοῖς θεωρουμένης μὴ κατὰ πάντων ἀλλὰ κατά τινων ἐνεργήσειεν ἡ τοῦ θεοῦ ἀγανάκτησις, νοεῖν προσήκει τὴν διὰ φιλανθρωπίας ἐνεργουμένην διόρθωσιν, οὐ πάντων μὲν τυπτομένων, πάντων δὲ ταῖς μερικαῖς πληγαῖς πρὸς τὴν τῆς κακίας ἀποστροφὴν σωφρονιζομένων.

Ἀλλὰ τοῦτο μὲν ἔτι τῶν καθ' ἱστορίαν γεγραμμένων τὸ νόημα, ἡ δὲ ἀναγωγὴ τοῦτον ἂν ἡμᾶς τὸν τρόπον ὠφελήσειεν· ἐπειδή φησιν ἐν κοινῷ κηρύγματι πρὸς πάντας ὁ νομοθέτης, εἴ Τις πρὸς κύριον, ἴτω πρός με, ὅπερ ἐστὶν ἡ τοῦ νόμου φωνὴ πᾶσιν ἐγκελευομένη τὸ εἴ τις βούλεται τοῦ θεοῦ φίλος εἶναι, ἐμοὶ τῷ νόμῳ φίλος γινέσθω· ὁ γὰρ τοῦ νόμου φίλος καὶ θεοῦ φίλος ἐστὶ πάντως· καὶ τοῖς πρὸς αὐτὸν διὰ τοιούτου κηρύγματος ἀθροισθεῖσιν ἐγκελεύεται χρήσασθαι τῷ ξίφει κατὰ τοῦ ἀδελφοῦ καὶ τοῦ φίλου καὶ τοῦ πλησίον. **396 M.** νοοῦμεν δὲ πρὸς τὸ ἀκόλουθον βλέποντες τῆς θεωρίας ὅτι πᾶς ὁ πρὸς τὸν θεὸν καὶ τὸν νόμον βλέπων τῷ φόνῳ τῶν κακῶς ᾠκειωμένων αὐτῷ καθαρίζεται. οὐ γὰρ πᾶς ἀδελφὸς οὐδὲ φίλος οὐδὲ πλησίον ἐπὶ τὸ κρεῖττον παρὰ τῆς γραφῆς ὀνομάζεται, ἀλλ' ἔστι τις καὶ ἀδελφὸς καὶ ἀλλότριος, καὶ φίλος καὶ ἐχθρὸς, καὶ πλησίον καὶ ἐξ ἐναντίας ἱστάμενος.

11-12 Ex 32, 26 20 sqq Ex 32, 27; cf Philo De ebriet 66-70

ΚΛΟSH 1 πάντως H ὁμοίως post κολαζομένου coll H 2 σώματος om S 3 ἐσωφρόνῆσεν (= -ισεν) S ἐσωφρόνιζεν v 4 κατὰ pr. om Λ πάντων: παντὸς H τινος H 5 ἐνεργήσει KO v 6 ἐνεργουμένην: τῶν ἐνεργουμένων H v 9 ἔτι: ἐπὶ KOS 10 τὸν τρόπον ἡμᾶς KOS 12 ὅτι ante εἴ add v τὸν κύριον v νόμου: νομοθέτου KOH 14 γενέσθω KOSH v lemma ὡς δῆλον ὅτι καὶ διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν οἱ παραβαίνοντες ἀτιμάζουσιν O quod idem in margine K τῷ νόμῳ KOH v 15 θεῷ KOH τῷ θεῷ v πάντως ante φίλος coll S τοῦ post διὰ add Λ 17 τοῦ ante φίλου om H 18 δὲ om S δὴ KOH τὸ om Λ 20 οἰκειωμένων KOH v et Λ (at corr Λ²) 21 παρὰ τῆς γραφῆς post πλήσιον coll Λ 22 ὀνομάζεται: νοεῖται SH v

τούτους νοοῦμεν τοὺς συμφυομένους ἡμῖν λογισμούς, ὧν ἡ ζωὴ μὲν ἡμέτερον θάνατον, ὁ δὲ θάνατος αὐτῶν ἡμετέραν ζωὴν κατεργάζεται.

Συμφωνεῖ δὲ τὸ τοιοῦτο νόημα τοῖς ἤδη περὶ τοῦ Ἀαρὼν ἐξετασθεῖσιν, ὅτε διὰ τῆς συντυχίας αὐτοῦ τὸν σύμμαχόν τε καὶ παραστάτην ἄγγελον ἐνοήσαμεν τόν, τὰ σημεῖα κατὰ τῶν Αἰγυπτίων συνεργαζόμενον, προγενέστερον εἰκότως νοούμενον διὰ τὸ προκατεσκευάσθαι τῆς φύσεως ἡμῶν τὴν ἀγγελικὴν καὶ ἀσώματον φύσιν, ἀδελφὸν δὲ δῆλον διὰ τὴν συγγένειαν τοῦ νοητοῦ ἐκείνου πρὸς τὸ νοητὸν τὸ ἡμέτερον. τῆς οὖν ἀντιθέσεως οὔσης (ὅτι πῶς ἔστι πρὸς τὸ κρεῖττον λαβεῖν τὴν τοῦ Ἀαρὼν συντυχίαν, ὃς ὑπηρέτης τοῖς Ἰσραηλίταις τῆς εἰδωλοποιΐας ἐγένετο;) κἀκεῖ μετρίως παρεδήλου τὴν τῆς ἀδελφότητος ὁμωνυμίαν ὁ λόγος, ὡς οὐχὶ πάντοτε τοῦ αὐτοῦ σημαινομένου ἀπὸ τῆς αὐτῆς φωνῆς ὅταν ἐπὶ τῶν ἐναντίων νοημάτων τὸ αὐτὸ λαμβάνηται ὄνομα. ἀλλ' ἕτερος μὲν ἀδελφὸς ὁ καθαιρῶν τὸν Αἰγύπτιον τύραννον, ἄλλος δὲ πάλιν ὁ ἀποτυπῶν τοῖς Ἰσραηλίταις τὸ εἴδωλον, κἂν ἓν ᾖ ἐπ' ἀμφοτέρων τὸ ὄνομα. κατὰ τῶν τοιούτων οὖν ἀδελφῶν ἀπογυμνοῖ Μωϋσῆς τὸ ξίφος. περὶ ὧν γὰρ ἄλλοις διακελεύεται καὶ ἑαυτῷ δηλαδὴ νομοθετεῖ τὸ ἴσον. ἀναίρεσις δέ ἐστι τοῦ τοιούτου ἀδελφοῦ ὁ τῆς ἁμαρτίας ἀφανισμός. πᾶς γὰρ ὁ τὸ διὰ τῆς συμβουλῆς τοῦ ἀντικειμένου ἐνιδρυνθέν τινι κακὸν ἀφανίσας, ἐκεῖνον ἀπέκτεινεν ἐν ἑαυτῷ τόν ποτε διὰ τῆς ἁμαρτίας ζῶντα.

ΚΛΟSH 1 ἐμφυομένους Λ   2 ἡμέτερον θάνατον ΛS   3 ἀπεργάζεται KO   4 συμφωνεῖν KO   τοιοῦτον KΛH   τὸν Ἀαρὼν v   5 συμμαχοῦντά τε S   7 ἐργαζόμενον v   8 προκατασκεύασθαι Λ   9 δῆλον: δὴ KO om SH v   11 ἔστι ΛH v: δύνατον KO δεῖ S   12 ἔστι post λαβεῖν coll H v   ὃς: ὡς H   12-13 τοῖς Ἰσραηλίταις ante ἐγένετο coll KO   13 εἰδωλολατρείας KO   μετρίως Λ v: δήπου S μέντοι KOH   15 σημαινομένου: δηλουμένου Λ   16 ἐναντίων: αὐτῶν H   17 ἀδελφὸς om KOSH   ad καθαιρῶν in marg habet καταβάλλων K   19 ἓν om H   ὄνομα: νόημα Λ   20 ὁ Μωϋσῆς S v   23 τὸ: τότε Λ om H   (συμ)βουλῆς . . . τοῦ ἀντικ(ειμένου) in ras scr Λ^2 συμβουλίας KOH   ἐνιδρωθὲν Λ (sed in -υνθὲν ut vid corr Λ^2)   24 τινι: τι coni Daniélou   αὐτῷ KOS   (ἀ)πέκτεινεν ἐν in ras scr Λ^2

Μᾶλλον δ' ἂν ἡμῖν τὸ περὶ τούτου κρατυνθείη δόγμα, εἴ τινα καὶ ἄλλα διὰ τῆς ἱστορίας πρὸς τὴν θεωρίαν ταύτην συμπαραλάβοιμεν. εἴρηται γὰρ ὅτι προστάγματι γίνεται τοῦ Ἀαρὼν ἐκείνου τὸ δεῖν αὐτοὺς περιελέσθαι ἀφ' ἑαυτῶν τὰ ἐνώτια. καὶ ἡ τούτων περιαίρεσις ὕλη τῷ εἰδώλῳ ἐγένετο. τί οὖν φαμεν; ὅτι Μωϋσῆς μὲν ἐν τῷ ἐνωτίῳ κόσμῳ, ὅς ἐστιν ὁ νόμος, τὴν τῶν Ἰσραηλιτῶν ἀκοὴν κατεκόσμησεν, ὁ δὲ ψευδώνυμος ἀδελφὸς διὰ τῆς παρακοῆς περιαιρεῖ τὸν ἐντεθέντα τῇ ἀκοῇ κόσμον καὶ ποιεῖ δι' αὐτοῦ εἴδωλον. καὶ παρὰ τὴν πρώτην τῆς ἁμαρτίας εἴσοδον ἐνωτίου τινὸς ὑφαίρεσις ἦν ἡ τοῦ παρακοῦσαι τῆς ἐντολῆς συμβουλή. πῶς ἐνομίσθη φίλος καὶ πλησίον τοῖς πρωτοπλάστοις ὁ ὄφις, ὥς τι χρήσιμον καὶ ἀγαθὸν τὸ ἀποστῆναι τοῦ θείου προστάγματος συμβουλεύων; τοῦτο τὸ περιελέσθαι τῆς ἀκοῆς τὸ τῆς ἐντολῆς ἐνώτιον. οὐκοῦν ὁ τῶν τοιούτων ἀδελφῶν τε καὶ φίλων καὶ πλησίων φονεὺς ἀκούσεται παρὰ τοῦ νόμου τῆς φωνῆς ἐκείνης ἥν φησιν ἡ ἱστορία παρὰ τοῦ Μωϋσέως γεγενῆσθαι τοῖς τοὺς τοιούτους φονοκτονήσασιν· ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον τῷ κυρίῳ ἕκαστος ἐν τῷ ἀδελφῷ καὶ τῷ υἱῷ δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν.

Δοκεῖ δὲ κατὰ καιρὸν καὶ ἡ μνήμη τῶν τὴν ἁμαρτίαν
397 M. παραδεξαμένων ἐπεισεληλυθέναι τῷ λόγῳ ὥστε μαθεῖν πῶς τὰς θεοτεύκτους πλάκας, αἷς ὁ θεῖος νόμος ἐνεκεχάρακτο, εἰς τὴν γῆν ἐκ τῶν χειρῶν τοῦ Μωϋσέως πεσούσας καὶ τῇ

ΚΛΟΣΗ Pap (4 [Ἀαρ]ὼν — 7 κατεκόσμη[σεν]) 1 δ' ἂν: δὲ v ἡμῖν τὸ oblitt vid casu in Λ et lacunam reliquit Λ² 2 διὰ om v 3 συμπαραλάβωμεν ΚΟ πρόσταγμα ΚΟΣΗ 4 αὐτοὺς: αὐτὸν τοῦ Η 5 ἐνώτια: ἐνάντια Η 6 ἐν om Λ ὅς: ὅ ΣΗ 7 κατεκόσμησεν ΚΛΟΣΗ Pap: ἐκόσμησεν v 8 ἀκοῆς Σ περιερεῖ Ο 9 αὐτοῦ ΣΗ v: ἑαυτοῦ ΚΟ τούτου Mess 50 Vat 2090 10 τινὸς: τις v 11 ἀφαίρεσις Η 12 πῶς: δι' ἧς Σ 13 ὥς τι: ὥστε Λ 14 τοῦτο τὸ ΚΟ: τοῦτο ΛΣ (ante corr) ἔστι τοῦτο τὸ post corr Σ τοῦτό ἐστι τὸ Η v post συμβουλεύων absque puncto interrogationis sententiam continuat Daniélou 15 τε om Λ 16 φίλων καὶ om ΚΟ πλησίον Η v 17 φησιν: ἔφησεν Η v 19 καὶ: ἢ ΚΟΣΗ v 19-20 υἱῷ . . . ἀδέλφῳ ΚΟΣΗ v 20 ἰδίῳ ante υἱῷ add Η v 23 ἐν ante αἷς add Η v ἐγκεχάρακτο Σ 24 τῶν τοῦ Μ. χειρῶν Η v

ἀντιτυπίᾳ τοῦ ὑποκειμένου συντριβείσας, πάλιν ὁ Μωϋσῆς ἀνακομίζεται οὐκέτι διόλου τὰς αὐτάς, ἀλλὰ μόνον τὸ ἐπ' αὐτῶν γράμμα. ἐκ γὰρ τῆς κάτω ὕλης λαβὼν τὰς πλάκας, ὑποτίθησι τῇ δυνάμει τοῦ τὸν νόμον αὐταῖς ἐγχαράσσοντος. καὶ οὕτως ἀνακαλεῖται τὴν χάριν φέρων ἐν ταῖς ἀληθιναῖς δέλτοις τὸν νόμον αὐτοῦ τοῦ θεοῦ τῷ λίθῳ τὰς φωνὰς ἐντυπώσαντος. τάχα γὰρ ἔστι διὰ τούτων ὁδηγηθέντας τῆς θείας ὑπὲρ ἡμῶν προμηθείας ἐν περινοίᾳ γενέσθαι. εἰ γὰρ ἀληθεύει ὁ θεῖος ἀπόστολος καρδίας ὀνομάζων τὰς πλάκας, τουτέστι τὸ ἡγεμονικὸν τῆς ψυχῆς (ἀληθεύει δὲ πάντως ὁ διὰ τοῦ πνεύματος τὰ βάθη τοῦ θεοῦ διερευνώμενος), ἔστιν ἐκ τούτου δι' ἀκολούθου μαθεῖν ὅτι ἀσύντριπτος ἦν τὸ κατ' ἀρχὰς καὶ ἀθάνατος ἡ ἀνθρωπίνη φύσις ταῖς θείαις χερσὶ κατεσκευασμένη καὶ τοῖς ἀγράφοις τοῦ νόμου κεκαλλωπισμένη χαράγμασι, φυσικῶς ἡμῖν ἐγκειμένου τοῦ κατὰ νόμον βουλήματος ἐν τῇ ἀποστροφῇ τοῦ κακοῦ καὶ ἐν τῇ τοῦ θείου τιμῇ.

Ἐπεὶ δὲ προσέπεσε τῆς ἁμαρτίας ὁ ἦχος, ὃν ἡ πρώτη γραφὴ φωνὴν ὄφεως ὀνομάζει, ἡ δὲ κατὰ τὰς πλάκας ἱστορία φωνὴν ἐξ οἴνου ἀρχόντων, τότε εἰς γῆν πεσοῦσαι συντρίβονται. ἀλλὰ πάλιν ὁ ἀληθινὸς νομοθέτης, οὗ τύπος ἦν ὁ Μωϋσῆς, ἐκ τῆς γῆς ἡμῶν ἑαυτῷ τὰς πλάκας ἐλάξευσεν. οὐ γὰρ γάμος

9 II Cor 3, 3   11 I Cor, 2, 10   19 Gen 3, 4   20 cf Ex 32, 19

ΚΛΟSH Pap (3 πλάκας — 5 ἀληθιναῖς et ita demum terminatur) 1 περιτριβείσας KOSH v 4 αὐτοῖς H ἐγχαράξαντος Mess 50 5 φέρων: ἣν ἔφερεν Λ ἀληθιναῖς ΚΛΟS Pap: λιθίναις H v 6 τὸν λίθον Λ (quod corr Λ²) τὰς om v 11 ἐρευνώμενος H 12 δι' ἀκολούθου om Λ καταρχὴς S 13-14 κατασκευασμένη Λ 14 ἀγνάφοις Λ hic lemma ὅτι νόμον ἐξ ἀρχῆς ἡμῖν ὁ θεὸς τὴν συνείδησιν δέδωκεν praebet O et in margine K 15 χαράγμασι: χαρίσμασι SH 16 ἐν alt om H 18 μὲν ante πρώτη add K 20 ἀρχόντων: ὀρχουμένων KO ᾀδόντων ex Vulcobio v πεσοῦσαι (vel vix πεσοῦσαν) συντρίβονται Λ ('tabulae naturae nostrae cadentes confringuntur'): πεσοῦσας συνέτριψε(ν) K(O) sed ambo siglum ⁜ hic in margine habent πεσοῦσα συντρίβεται SH πεσοῦσα συντριβήσεται v (πεσοῦσα) συνετρίβη coni Daniélou 21 ἀλλὰ om KO ὁ om H 22 ἡμῶν: ἡμῖν KO ante πλάκας add τῆς φύσεως KOSH add τῆς φύσεως ἡμῶν v

αὐτῷ τὴν θεοδόχον ἐδημιούργησε σάρκα, ἀλλ' αὐτὸς τῆς ἰδίας σαρκὸς γίνεται λατόμος τῆς τῷ θείῳ δακτύλῳ γραφείσης· Πνεῦμα γὰρ ἅγιον ἦλθεν ἐπὶ τὴν παρθένον καὶ ἡ τοῦ ὑψίστου ἐπεσκίασε δύναμις. ἐπεὶ δὲ τοῦτο ἐγένετο, πάλιν τὸ ἀσύντριπτον ἔσχεν ἡ φύσις, ἀθάνατος γενομένη τοῖς τοῦ δακτύλου χαράγμασι. δάκτυλος δὲ πολλαχῇ παρὰ τῆς γραφῆς ὀνομάζεται τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὕτω γίνεται τοῦ Μωϋσέως ἡ ἐπὶ τὸ ἐνδοξότερον μεταποίησις τοιαύτη τε καὶ τοσαύτη, ὡς ἀχώρητον εἶναι τῷ κάτω ὀφθαλμῷ τὴν τῆς δόξης ἐκείνης ἐμφάνειαν. πάντως δὲ ὁ πεπαιδευμένος τὸ θεῖον τῆς πίστεως ἡμῶν μυστήριον οὐκ ἀγνοεῖ, πῶς συμβαίνει τῇ ἱστορίᾳ ἡ κατ' ἀναγωγὴν θεωρία. ὁ γὰρ διορθωτὴς τῆς συντετριμμένης ἡμῶν πλακός (νοεῖς δὲ πάντως διὰ τῶν λεγομένων ἐκεῖνον τὸν τὰ συντρίμματα ἡμῶν θεραπεύσαντα) ἐπειδὴ πάλιν εἰς τὸ ἀρχαῖον ἐπανήγαγε κάλλος τὴν συντετριμμένην τῆς φύσεως ἡμῶν πλάκα, τῷ θείῳ δακτύλῳ, καθὼς εἴρηται, καλλωπισθεῖσαν, οὐκέτι χωρητὸς ταῖς ὄψεσι τῶν ἀναξίων γίνεται, τῷ ὑπερβάλλοντι τῆς δόξης ἀπροσπέλαστος τοῖς πρὸς αὐτὸν ὁρῶσι γινόμενος· ἀληθῶς γὰρ Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καθώς φησι τὸ εὐαγγέλιον, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, μόγις μὲν τοῖς δικαίοις χωρητὸς γίνεται. ὁ δὲ ἀσεβὴς καὶ Ἰουδαΐζων τὴν αἵρεσιν, καθὼς Ἡσαΐας

3-4 Luc 1, 35 6 cf Ex 8, 19; Deut 9, 10; Luc 11, 20 et alibi 19-20 Marc 8, 38

ΚΛΟSH 1 θεοδόχον: θείαν v 2 λαοτόμος K καταγραφείσης v 3 ἦλθεν . . . παρθένον: εἰς τὴν παρθένον ἦλθεν S 4-5 ἀσύντριπτον: ἀσύνκριτον S 6 θείας γραφῆς S 7 οὕτως Λ 8 ἡ post ἐνδοξότερον coll KO τοσαύτη τε καὶ τοιαύτη KO τε om S v 9 κάτω: θεϊκῷ O χοϊκῷ K ἐκείνης om KO 11 μυστήριον defectuoso compend scr S ἡ ἱστορία τῇ κατὰ SH κατ' KO 12 τῆς om O 13 πλακός Λ: τῆς φύσεως πλακός S φύσεως πλακός H v σαρκός K τῆς σαρκός O λεγομένων: εἰρημένων KO 14 θεραπεύοντα H ἐπειδὴ: ἐπεὶ δὲ O 15 κάλλος om v 16 καὶ post πλάκα add S θείῳ: ἰδίῳ S forte recte 17 ἀξίων Λ 20 καθώς . . . εὐαγγέλιον ἐν . . . αὐτοῦ KOSH v καθώς om H 21 μόγις: μόλις Λ post γίνεται add καὶ καταφανής v 22 προαίρεσιν Λ

λέγει, ἀμέτοχος ἐκείνου τοῦ θεάματος μένει. Ἀρθήτω γάρ, φησίν, ὁ ἀσεβὴς ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. ἀλλὰ ταῦτα μὲν τῇ ἀκολουθίᾳ τῶν προσεξητασμένων
400 M. ἑπόμενοι πρὸς τὴν ὑπόνοιαν τῆς περὶ τὸν τόπον τοῦτον θεωρίας ἠνέχθημεν. ἐπὶ δὲ τὸ προκείμενον ἐπανέλθωμεν. πῶς ὁ τοσαύταις θεοφανείαις ἐναργῶς ὁρᾶν τὸν θεὸν παρὰ τῆς θείας φωνῆς μαρτυρούμενος, ἐν οἷς φησιν ὅτι Ἐνώπιος ἐνωπίῳ ὡς ἄν τις λαλήσῃ πρὸς τὸν ἑαυτοῦ φίλον, ἐν τούτοις γενόμενος, ὡς μήπω τυχὼν ὧν τετυχηκέναι διὰ τῆς γραφικῆς μαρτυρίας πεπίστευται, δεῖται τοῦ θεοῦ φανῆναι αὐτῷ, ὡς τοῦ ἀεὶ φαινομένου μηδέπω ὀφθέντος; καὶ ἡ ἄνωθεν φωνὴ νῦν μὲν τῇ ἐπιθυμίᾳ τοῦ αἰτοῦντος συντίθεται καὶ τὴν προσθήκην αὐτῷ τῆς χάριτος ταύτης οὐκ ἀπαναίνεται, πάλιν δὲ εἰς ἀπελπισμὸν ἄγει, δι' ὧν ἀποφαίνεται ἀχώρητον εἶναι τῇ τῶν ἀνθρώπων ζωῇ τὸ παρ' ἐκείνου ζητούμενον. ἀλλά τινα τόπον εἶναι παρ' ἑαυτῷ φησιν ὁ θεὸς καὶ ἐν τῷ τόπῳ πέτραν καὶ ὀπὴν ἐν τῇ πέτρᾳ, ἐν ᾗ κελεύει γενέσθαι τὸν Μωϋσέα· εἶτα ἐπιβαλεῖν τὸν θεὸν τὴν χεῖρα τῷ στομίῳ τῆς ὀπῆς ἐκείνης καὶ παρελθόντα προσκαλέσασθαι, τὸν δὲ Μωϋσέα προσκληθέντα καὶ τῆς ὀπῆς ἔξω γενόμενον τὰ ὀπίσθια ἰδεῖν τοῦ καλέσαντος καὶ οὕτως ἐκεῖνόν τε τὸ ζητούμενον ἰδεῖν δόξαι τῆς τε θείας φωνῆς ἀψευδῆ τὴν ἐπαγγελίαν γενέσθαι.

Ταῦτα γὰρ εἴ τις κατὰ τὸ γράμμα βλέποι, οὐ μόνον ἀσαφὴς τοῖς ζητοῦσιν ἔσται ἡ διάνοια ἀλλ' οὐδὲ καθαρεύσει

1-2 Isai 26, 11 7-8 Ex 33, 11; cf I Cor 13, 12 18 sqq Ex 33, 21-23; cf In Cant Cant orat 12, 356, 9 sqq (Vol VI Jaeger)

ΚΛΟSH 1 λέγει: φησίν KO θελήματος S 2 φησίν post ἀσεβὴς coll H v om KO 3 προεξητασμένων S ἐξητασμένων KOH v 5 ἐνήχθημεν Λ 6 ὁρᾶν: ὁρῶν H 8 λαλήσει O ταύταις S 10 πιστεύεται KOSH v 11 μηδέπω: μηδὲ S 14 ἀποφαίνεται: ἀποφέρεται H 15 ἐκείνων Λ 17 γίνεσθαι H v 18 ἐπιβάλλειν KOH 19-20 ἐκείνης . . . ὀπῆς hom causa om v 20 δὲ post προσκληθέντα coll Λ 21 τε post ἐκεῖνον om H v μὲν Λ τὸ: τὸν H v 22 τε ante θείας ΛSH v: δὲ KO 24 γὰρ: τε KO 25 τῶν ζητουμένων KO ἔσται: ἐστιν ΚΛΟΗ v

τῆς ἀπεμφαινούσης περὶ θεοῦ ὑπολήψεως· μόνων γὰρ τῶν ἐν σχήματι θεωρουμένων τὸ μὲν ἐμπρόσθιον, τὸ δὲ ὀπίσθιον. πᾶν δὲ σχῆμα σώματος πέρας ἐστίν. ὥστε ὁ σχῆμα περὶ τὸν θεὸν ἐννοῶν οὐδὲ τῆς σωματικῆς φύσεως καθαρεύειν αὐτὸν οἰηθήσεται. πᾶν δὲ σῶμα καὶ σύνθετόν ἐστι πάντως. τὸ δὲ σύνθετον ἐκ τῆς τῶν ἑτερογενῶν συνδρομῆς ἔχει τὴν σύστασιν. τὸ δὲ συντιθειμένον οὐκ ἄν τις ἀδιάλυτον εἴποι εἶναι. τὸ δὲ διαλυόμενον ἄφθαρτον εἶναι οὐ δύναται. φθορὰ γὰρ ἡ διάλυσίς ἐστι τοῦ συνεστῶτος. εἰ οὖν τις τὸ ὀπίσθιον τοῦ θεοῦ κατὰ τὸ γράμμα νοήσειεν, εἰς ταύτην τὴν ἀτοπίαν ἐκ τῆς ἀκολουθίας κατ' ἀνάγκην ἀπενεχθήσεται. τὸ γὰρ ἐμπρόσθιόν τε καὶ ὀπίσθιον ἐν σχήματι πάντως, τὸ δὲ σχῆμα ἐν σώματι. τοῦτο δὲ διαλυτὸν κατὰ τὴν ἰδίαν φύσιν ἐστί. διαλυτὸν γὰρ ἅπαν τὸ σύνθετον. τὸ δὲ λυόμενον ἄφθαρτον εἶναι οὐ δύναται. ἄρα ὁ τῷ γράμματι δουλεύων φθορὰν διὰ τῆς ἀκολουθίας τῶν νοημάτων περὶ τὸ θεῖον ἐννοήσειεν. ἀλλὰ μὴν ἄφθαρτος ὁ θεὸς καὶ ἀσώματος.

Ἀλλὰ τίς ἄρα τοῖς γεγραμμένοις ἐφαρμόσει διάνοια παρὰ τὸ ἐκ προχείρου νοούμενον; εἰ δὴ οὖν τοῦτο τὸ μέρος τῶν ἐν τῇ συμφράσει τοῦ λόγου γεγραμμένων ἑτέραν ἡμᾶς ἐξευρεῖν ἀναγκάζει διάνοιαν, προσήκει πάντως καὶ περὶ τοῦ ὅλου τὸ ἴσον διανοεῖσθαι. οἷον γὰρ ἐν τῷ μέρει νοήσομεν, τοιοῦτον ἀνάγκῃ καὶ τὸ ὅλον καταλαμβάνομεν. οὐ γὰρ ἂν εἴη τι ὅλον

ΚΛΟSH 1 περὶ τῆς τοῦ θεοῦ KO   3 πᾶν . . . σώματος: παντὸς σχήματος KO   5 οἰήσεται K   καὶ om KOSH v   7 συντιθέμενον KOSH v   εἶναι εἴποι SH v   εἶναι om Λ   9 ἐστι(ν) post συνεστῶτος coll KOH v   11 ἐπενεχθήσεται KO ἀπαχθήσεται v   ex πᾶν (5) fere usque ad τὸ γὰρ (11) in margine per litteras ᾱ, β̄, γ̄, δ̄, ε̄ argumentationis gradus atque conclusionem per ὅλον significant KO   13 διαλυθὲν ante διαλυτὸν add SH v   14 τὸ δὲ διαλυόμενον KO v   16 δι' ἀκολουθίας S περὶ: παρὰ v   τὸ θεῖον: τὸν θεὸν KOH v   ἐννοήσειεν (omisso ἄν) ΚΛΟΗ v: ἐννοήσει S   17-18 ἀλλὰ μὴν . . . μὴν . . ., ἀλλὴ τίς ('Si Deus vero incorruptibilis, aliane conveniet significatio?') KO   18 ἀλλὰ: ἀλλὴ KO   τῇ διανοίᾳ O   19 εἰ δὴ οὖν K: εἰ δὴ Λ ἤδη οὖν OS εἰ οὖν H εἰ δὲ v   τὸ (alt) om H   22 διανοηθῆναι ut vid S (at certe Z)   νοήσωμεν Λ (sed corr Λ[2])   23 λαμβάνομεν v   23-p 114, 1 οὐ γὰρ . . . συμπληρούμενον om v   εἴη: ᾗ S

μὴ ἐκ μερῶν συμπληρούμενον. οὐκοῦν καὶ ὁ τόπος ὁ παρὰ τῷ θεῷ καὶ ἡ ἐν τῷ τόπῳ πέτρα καὶ τὸ ἐν ταύτῃ χώρημα, ὅπερ ὀπὴ ὀνομάζεται, καὶ ἡ ἐκεῖ τοῦ Μωϋσέως εἴσοδος καὶ ἡ τῆς θείας χειρὸς ἐπιβολὴ τοῦ στομίου καὶ ἡ πάροδος καὶ ἡ κλῆσις καὶ μετὰ ταύτην ἡ τῶν ὀπισθίων θεωρία εὐλογώτερόν τι τῷ τῆς ἀναγωγῆς νόμῳ θεωρηθήσεται.

Τί οὖν ἐστι τὸ εἰκαζόμενον; ὅτι καθάπερ τὰ κατωφερῆ τῶν σωμάτων, εἴ τινα κατὰ τοῦ πρανοῦς ὁρμὴν λάβοι, κἂν μηδεὶς ἐπωθῶν μετὰ τὴν πρώτην κίνησιν τύχοι, αὐτὰ δι' ἑαυτῶν ἐπὶ τὸ κάταντες ἐν σφοδρᾷ τῇ φορᾷ συνελαύνεται,
401 M. ἕως ἂν ἐπικλινὲς ᾖ καὶ ὑποκατίῃ τῷ σχήματι τὸ τῇ φορᾷ ὑποκείμενον, μηδενὸς εὑρισκομένου τοῦ ἐξ ἀντιβάσεως τὴν ὁρμὴν ἀνακόπτοντος, οὕτως κατὰ τὸ ἔμπαλιν ἡ ψυχὴ τῆς γηΐνης προσπαθείας ἀπολυθεῖσα ἀνωφερής τε καὶ ὀξυπετὴς γίνεται πρὸς τὴν ἐπὶ τὰ ἄνω κίνησιν ἀπὸ τῶν κάτω πρὸς τὸ ὕψος ἀνιπταμένη. μηδενὸς δὲ ὄντος ἄνωθεν τοῦ τὴν ὁρμὴν ἐπικόπτοντος (ἑλκτικὴ γὰρ πρὸς ἑαυτὴν ἡ τοῦ καλοῦ φύσις ἐστὶ τῶν πρὸς ἐκείνην ἀναβλεπόντων) ἀεὶ πάντως ὑψηλοτέρα ἑαυτῆς γίνεται τῇ τῶν οὐρανίων ἐπιθυμίᾳ συνεπεκτεινομένη τοῖς ἔμπροσθεν, καθώς φησιν ὁ ἀπόστολος, καὶ πάντοτε πρὸς τὸ ὑψηλότερον τὴν πτῆσιν ποιήσεται. ποθοῦσα γὰρ διὰ τῶν ἤδη κατειλημμένων μὴ καταλιπεῖν τὸ ὕψος τὸ ὑπερκείμενον, ἄπαυστον ποιεῖται τὴν ἐπὶ τὸ ἄνω φορὰν ἀεὶ διὰ τῶν προηνυσμένων τὸν πρὸς τὴν πτῆσιν τόνον ἀνανεάζουσα. μόνη γὰρ ἡ κατ' ἀρετὴν ἐνέργεια καμάτῳ

19-20 Phil 3, 13; de ascensu animae cf Plat Phaedr 246b

ΚΛΟSH 3-4 post εἴσοδος hom causa καὶ ἡ . . . πάροδος om KOS 5 μετὰ ταύτην: μετ' αὐτὴν S μετὰ ταῦτα v 6 τι om KOSH v ἐν ante τῷ add S 8 εἴ τινα: ἔστιν ἃ KO τὴν ὁρμὴν K λάβοι: λάβωσι Λ κἂν: καὶ K 9 ὁ ἐπωθῶν K μετὰ: κατὰ KOSH τύχοι: τύχῃ KO v 10 ἐν om KOSH σφοδροτέρᾳ v 11 ὑποκλινὲς Λ et Mess 50 forsan recte ὑποκάτω S τὸ: τῷ H om Λ (sed τὸ superscr Λ²) 12 ὑποκειμένῳ H 13 οὕτω v post οὕτως add πάλιν S ἡ post ψυχὴ add K 14 συμπαθείας KO ὀξυπετὴς: ὀξεῖα ΚΛΟΗ v 16 ἀνιπταμένην H 17 ἑλκυτικὴ S γὰρ om Λ (sed superscr Λ²) 19 ἑαυτῆς om H 21 ποιεῖται H 22 τὸ: τοῦ Λ 23 τὸ ἄνω: τὰ ἄνω KOH 24 προδιηνυσμένων C 25 καμάτων H

τρέφει τὴν δύναμιν, οὐκ ἐνδιδοῦσα διὰ τοῦ ἔργου τὸν τόνον ἀλλ᾽ ἐπαύξουσα.

Διὰ τοῦτό φαμεν καὶ τὸν μέγαν Μωϋσέα ἀεὶ μείζω γινόμενον μηδαμοῦ ἵστασθαι τῆς ἀνόδου μηδέ τινα ὅρον ἑαυτῷ ποιεῖσθαι τῆς ἐπὶ τὸ ἄνω φορᾶς, ἀλλ᾽ ἅπαξ ἐπιβάντα τῆς κλίμακος ᾗ ἐπεστήρικτο ὁ θεός, καθώς φησιν Ἰακώβ, εἰσαεὶ τῆς ὑπερκειμένης βαθμίδος ἐπιβαίνειν καὶ μηδέποτε ὑψούμενον παύεσθαι διὰ τὸ πάντοτε εὑρίσκειν τῆς κατειλημμένης ἐν τῷ ὕψει βαθμίδος τὸ ὑπερκείμενον. ἀρνεῖται τὴν πρὸς τὴν βασιλίδα τῶν Αἰγυπτίων κατεψευσμένην συγγένειαν. ἔκδικος γίνεται τοῦ Ἑβραίου. μετανίσταται πρὸς τὴν ἔρημον διαγωγήν, ἣν ὁ ἀνθρώπινος οὐκ ἐτάραξε βίος. ποιμαίνει ἐν ἑαυτῷ τὴν τῶν ἡμέρων ζῴων ἀγέλην. ὁρᾷ τοῦ φωτὸς τὴν λαμπηδόνα. ἀβαρῆ ποιεῖται τὴν πρὸς τὸ φῶς ἄνοδον τῇ περιαιρέσει τοῦ ὑποδήματος. ἐξαιρεῖται πρὸς ἐλευθερίαν τὸ συγγενὲς καὶ ὁμόφυλον. ὑποβρύχιον βλέπει τὸν ἐχθρὸν κατὰ τῶν κυμάτων δυόμενον. ὑπὸ τῇ νεφέλῃ αὐλίζεται. τῇ πέτρᾳ θεραπεύει τὸ δίψος. τῷ οὐρανῷ γεωργεῖ τὸν ἄρτον. εἶτα τῇ ἐκτάσει τῶν χειρῶν καταγωνίζεται τὸ ἀλλόφυλον. ἀκούει τῆς σάλπιγγος. τὸν γνόφον ὑπέρχεται. ἐπὶ τὰ ἄδυτα τῆς ἀχειροποιήτου σκηνῆς παραδύεται. μανθάνει τῆς θείας ἱερωσύνης τὰ ἀπόρρητα. ἐξαφανίζει τὸ εἴδωλον, ἱλεοῦται τὸ θεῖον, ἀνακαλεῖται τὸν ἐν τῇ κακίᾳ τῶν Ἰουδαίων συντριβέντα νόμον, λάμπει τῇ δόξῃ, καὶ διὰ τοσούτων ἐπαρθεὶς ὑψωμάτων ἔτι σφριγᾷ τῇ ἐπιθυμίᾳ καὶ ἀκορέστως

5-6 Gen 28, 12

ΚΛΟSH 1 τῶν τόνων ut vid S 3 μέγαν om in textu sed superscr μέγα K μείζω om v 5 τὰ ἄνω KO 6 καθώς: καθὸ H ὁ Ἰακώβ KO lemma ἀρίθμησις τῶν τοῦ Μωϋσέως (Μωσέως K) ὀπτασιῶν praebent KO in margine hic ἀνακεφαλαίωσις S 11 εἰς τὴν post μετανίσταται add KO 12 βίος ante οὐκ coll Λ ἐξετάραξε KO 13 ποιμαίνειν H ἐν αὐτῇ KO ἡμέρων: ἡμετέρων Λ τοῦ om H 17 τῶν: τὸν H τὴν νεφέλην SH v 18 τῷ οὐρανῷ: τὸν οὐράνιον KO ὕει τὸν οὐρανον S γεωργεῖ: χορηγεῖ KO 19 τὸν om KO 20 τὸν ἀλλόφυλον KOSH v ὑπέρχεται: ὑπεισέρχεται KO 21 ἄδυτα: ὕδατα H 25 ἔτι σφριγᾷ: ἐπισφριγᾷ H

ἔχει τοῦ πλείονος, καὶ οὗ διὰ παντὸς κατ' ἐξουσίαν ἐνεφορεῖτο, ἔτι διψᾷ καὶ ὡς μήπω μετεσχηκὼς τυχεῖν δέεται, ἐμφανῆναι αὐτῷ τὸν θεὸν ἱκετεύων, οὐχ ὡς μετέχειν δύναται ἀλλ' ὡς ἐκεῖνός ἐστι.

Δοκεῖ δέ μοι τὸ τοιοῦτο παθεῖν ἐρωτικῇ τινι διαθέσει πρὸς τὸ τῇ φύσει καλὸν τῆς ψυχῆς διατεθείσης, ἣν δὴ ἡ ἐλπὶς ἀπὸ τοῦ ὀφθέντος καλοῦ πρὸς τὸ ὑπερκείμενον ἐπεσπάσατο διὰ τοῦ πάντοτε καταλαμβανομένου πρὸς τὸ κεκρυμμένον ἀεὶ τὴν ἐπιθυμίαν ἐκκαίουσα. ὅθεν ὁ σφοδρὸς ἐραστὴς τοῦ κάλλους, τὸ ἀεὶ φαινόμενον ὡς εἰκόνα τοῦ ποθουμένου δεχόμενος, αὐτοῦ τοῦ ἀρχετύπου χαρακτῆρος ἐμφορηθῆναι ἐπιποθεῖ. καὶ τοῦτο βούλεται ἡ τολμηρά τε καὶ παριοῦσα τοὺς ὅρους τῆς ἐπιθυμίας αἴτησις τὸ μὴ διὰ κατόπτρων τινῶν
404 M. καὶ ἐμφάσεων ἀλλὰ κατὰ πρόσωπον ἀπολαῦσαι τοῦ κάλλους, ἡ δὲ θεία φωνὴ δίδωσι τὸ αἰτηθὲν, δι' ὧν ἀπαναίνεται, ἐν ὀλίγοις τοῖς ῥήμασιν ἀμέτρητόν τινα βυθὸν νοημάτων παραδεικνύουσα. τὸ μὲν γὰρ πληρῶσαι τὴν ἐπιθυμίαν αὐτῷ ἡ τοῦ θεοῦ μεγαλοδωρεὰ κατένευσε, στάσιν δέ τινα τοῦ ποθουμένου καὶ κόρον οὐκ ἐπαγγέλλεται. οὐ γὰρ ἂν ἑαυτὸν ἔδειξε τῷ θεράποντι, εἴπερ τοιοῦτον ἦν τὸ ὁρώμενον, ὥστε στῆσαι τὴν ἐπιθυμίαν τοῦ βλέποντος, ὡς ἐν τούτῳ ὄντος τοῦ ἀληθῶς ἰδεῖν τὸν θεὸν ἐν τῷ μὴ λῆξαί ποτε τῆς ἐπιθυμίας τὸν πρὸς αὐτὸν ἀποβλέποντα. φησὶ γάρ· Οὐ δυνήσῃ τὸ πρόσωπόν μου ἰδεῖν· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν

13 cf I Cor 13, 12 23-24 Ex 33, 20; de exegesi totius pericopes cf Philon De poster Cain 168-9

ΚΛΟSH 2 διψῇ ΚΟΗ v μήπω om S ἐμφανισθῆναι ΚΟ 5 δοκεῖ: δοκῶ Λ τοιοῦτον Λ τινι om H 6 τῇ om v δή: ἀεὶ ΚΟSH v 7 ὑποκείμενον H 9 ἀεὶ: καὶ ΟSH om Κ 11 χαρακτῆρος τοῦ ἀρχετύπου v 12 ποθεῖ ΚΟΗ v 12-13 τῇ τολμηρᾷ . . . αἰτήσει 13 ἐπιθυμίας ΛSH v: φύσεως Κ πίστεως Ο ambae ut vid ex theologica correctione 14 αἴτησις: ἡ αἴτησις v αἰτήσει ex αἰτήσας ut vid (Λ) corr Λ² 16 νοημάτων βυθὸν ΚΟ 18 ἡ om Λ 18-19 τοῦ ποθουμένου ΛΗ: τοῦ πόθου v om ΚΟS 19 ἐπηγγείλατο SH v 21 τῆς ἐπιθυμίας Λ 23 ἀναβλέποντα SH v

μου καὶ ζήσεται. τοῦτο δὲ οὐχ ὡς αἴτιον τοῦ θανάτου τοῖς ὁρῶσι γινόμενον ὁ λόγος ἐνδείκνυται (πῶς γὰρ ἂν τὸ τῆς ζωῆς πρόσωπον αἴτιον θανάτου τοῖς ἐμπελάσασι γένοιτ' ἄν ποτε;), ἀλλ' ἐπειδήπερ ζωοποιὸν μὲν τῇ φύσει τὸ θεῖον, ἴδιον δὲ γνώρισμα τῆς θείας φύσεώς ἐστι τὸ παντὸς ὑπερκεῖσθαι γνωρίσματος, ὁ τοίνυν τῶν γινωσκομένων τι τὸν θεὸν εἶναι οἰόμενος, ὡς παρατραπεὶς ἀπὸ τοῦ ὄντως ὄντος πρὸς τὸ τῇ καταληπτικῇ φαντασίᾳ νομισθὲν εἶναι, ζωὴν οὐκ ἔχει. τὸ γὰρ ὄντως ὂν ἡ ἀληθής ἐστι ζωή. τοῦτο δὲ εἰς ἐπίγνωσιν ἀνέφικτον. εἰ οὖν ὑπερβαίνει τὴν γνῶσιν ἡ ζωοποιὸς φύσις, τὸ καταλαμβανόμενον πάντως ζωὴ οὐκ ἔστιν. ὃ δὲ μή ἐστι ζωὴ παρεκτικὸν γενέσθαι ζωῆς φύσιν οὐκ ἔχει. οὕτως οὖν πληροῦται τῷ Μωϋσεῖ τὸ ποθούμενον, δι' ὧν ἀπλήρωτος ἡ ἐπιθυμία μένει. παιδεύεται γὰρ διὰ τῶν εἰρημένων ὅτι τὸ θεῖον κατὰ τὴν ἑαυτοῦ φύσιν ἀόριστον, οὐδενὶ περιειργόμενον πέρατι. εἰ γὰρ ἔν τινι πέρατι νοηθείη τὸ θεῖον, ἀνάγκη πᾶσα καὶ τὸ μετ' ἐκεῖνο συνθεωρηθῆναι τῷ πέρατι. πάντως γὰρ εἴς τι καταλήγει τὸ περατούμενον, ὥσπερ χερσαίων πέρας ἄκρον ἐστὶ καὶ ἐνύδρων τὸ ὕδωρ. ὡς οὖν πᾶσι τοῖς μορίοις αὐτοῦ ὁ μὲν ἰχθὺς ἐμπεριέχεται τῷ ὕδατι τὸ δὲ πτηνὸν τῷ ἀέρι καὶ μέσον τοῦ ὕδατος πρὸς τὸ νηκτὸν ἢ πρὸς τὸ πτηνὸν τοῦ ἀέρος ἡ ἄκρα τοῦ πέρατός ἐστιν ἐπιφάνεια, ἡ τὸ πτηνὸν ἢ τὸν ἰχθὺν περιέχουσα, ἣν τὸ ὕδωρ ἢ ὁ ἀὴρ διαδέχεται, οὕτως ἀνάγκη εἴπερ ἐν πέρατι νοοῖτο τὸ θεῖον τῷ ἑτερογενεῖ

ΚΛΟSH 1 οὐχ om H   οὐδαμῶς post αἴτιον add H   τοῦ om S   2 γιὰνόμενον Λ v   ἂν Λ: hic om KOSH v   3 ἐμπελάσασι super litteras obscuras corr Λ²   4 ἐπειδήπερ: ἐπειδὴ SH v   μὲν om H   6 τοίνυν om SH v   τι τῶν γινωσκομένων KO   εἶναι om S   7 ἀπὸ: παρὰ Λ (sed ἀπὸ supra lineam scr Λ²)   ὄντως om v   8 καὶ ante ζωὴν add v   9 ἐπίγνωσιν KO   11 ζωή: ζωὴν H   οὐκ ἔστιν: οὐκ ἔχει SH   12 τῶν ante ζωῆς add Λ sed del Λ²   οὕτως: οὔτε v   17 συνθεωρεῖται KO   18 καταλήγει: καταλειφθείη Λ   χερσαίων: πτηνῶν KO   19 ἄκρον Λ: ὁ ἀήρ KO v ἀήρ SH   τῶν ἐνύδρων H v   ὡς: ὥσπερ v   μορίοις: ὁρίοις v   20 αὐτοῦ: ἑαυτοῦ SH v   21 τὸ ante πτηνὸν om K   22 ἡ: ἢ Λ   23 ἢ: ἡ v   ἣν: ἢ KO   ὁ (ante ἀὴρ) om S et K (ante corr)

κατὰ τὴν φύσιν ἐμπεριέχεσθαι, τὸ δὲ ἐμπεριέχον τοῦ ἐναπειλημμένου πολλαπλάσιον εἶναι ἡ ἀκολουθία τοῦ λόγου μαρτύρεται.

Ἀλλὰ μὴν καλὸν εἶναι τὸ θεῖον ὁμολογεῖται τῇ φύσει, τὸ δὲ πρὸς τὸ καλὸν ἑτεροφυῶς ἔχον ἄλλο τι παρὰ τὸ καλὸν πάντως ἐστί, τὸ δὲ ἔξω τοῦ καλοῦ ἐν τῇ τοῦ κακοῦ φύσει καταλαμβάνεται. ἐδείχθη δὲ πολλαπλάσιον εἶναι τοῦ περιεχομένου τὸ περιέχον. ἀνάγκη πᾶσα τοὺς ἐν πέρατι τὸ θεῖον οἰομένους εἶναι καὶ ἐμπεριειλῆφθαι τοῦτο τῇ κακίᾳ συντίθεσθαι. ἐλαττουμένου δὲ πάντως τοῦ περιεχομένου τῆς τοῦ περιέχοντος φύσεως, ἀκόλουθον ἂν εἴη τὴν ἐπικράτησιν τοῦ πλεονάζοντος γίνεσθαι. οὐκοῦν δυναστεύεσθαι τὸ καλὸν ὑπὸ τοῦ ἐναντίου κατασκευάζει ὁ πέρατί τινι περιείργων τὸ θεῖον. ἀλλὰ μὴν τοῦτο ἄτοπον. οὐκ ἄρα περίληψίς τις τῆς ἀορίστου φύσεως νομισθήσεται· τὸ δὲ ἀπερίληπτον καταληφθῆναι φύσιν οὐκ ἔχει. ἀλλὰ πᾶσα πρὸς τὸ καλὸν ἡ ἐπιθυμία, ἡ πρὸς τὴν ἄνοδον ἐκείνην ἐφελκομένη, ἀεὶ τῷ δρόμῳ τοῦ πρὸς τὸ καλὸν ἱεμένου συνεπεκτείνεται. καὶ τοῦτό ἐστιν ὄντως τὸ ἰδεῖν τὸν θεόν, τὸ μηδέποτε τῆς ἐπιθυμίας κόρον εὑρεῖν. ἀλλὰ χρὴ πάντοτε βλέποντα, δι' ὧν ἐστι δυνατὸν ὁρᾶν, πρὸς τὴν τοῦ πλέον ἰδεῖν ἐπιθυμίαν ἐκκαίεσθαι.
405 M. καὶ οὕτως οὐδεὶς ὅρος ἐπικόπτει τῆς πρὸς τὸν θεὸν ἀνόδου τὴν αὔξησιν διὰ τὸ μήτε τοῦ καλοῦ τι πέρας εὑρίσκεσθαι μήτε τινὶ κόρῳ τὴν πρόοδον τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας ἐγκόπτεσθαι.

15 sqq cf In Cant Cant orat 1, 31, 12 sqq (Vol VI Jaeger)

ΚΛΟSH 1 ἐμπεριέχεσθαι: ἐμπεριέχεται H περιέχον KOSH post ἐμπεριέχον rasuram quattuor fere litt Λ 1-2 ἀπειλημμένου K -λειμμένου O 2 τῇ ἀκολουθίᾳ . . . μαρτυρεῖται KOSH v τῇ φύσει post μαρτυρεῖται add S 3 ἀλλὰ . . . ὁμολογεῖται om KOS ὁμολογεῖται Λ: ὡμολόγηται H v 5 κακοῦ ex καλοῦ Λ corr Λ² 6 μεταλαμβάνεται Λ παραλαμβάνεται H 7 οὖν ante πᾶσα add H v 8 οἰομένους τὸ θεῖον Λ ἐμπεριείλημφθαι Λ 9 πάντως: παντὸς v 12 κατασκευάζεις H ὁ ante πέρατί om H 14 ἀορίστου: ἀοράτου v 16-17 τοῦ δρόμου O 17 τῷ . . . ἱεμένῳ H v συνεπιτείνεται ΛS v συνεκτείνεσθαι H 21 οὕτως: οὗτος S ἂν post οὕτως add KOS οὐδεὶς: ὁ KOS ἂν post ὅρος add H v ἐπικόπτει: ἐπικόπτοι SH v ἐπικόπτοιτο KO 23 ἐκκόπτεσθαι H v

Ἀλλὰ τίς ὁ τόπος ἐκεῖνος ὁ παρὰ τῷ θεῷ νοούμενος; τίς δαὶ ἡ πέτρα; καὶ τί πάλιν ἐν τῇ πέτρᾳ τὸ χώρημα; τίς δαὶ χεὶρ τοῦ θεοῦ ἡ τὸ στόμιον τῆς πέτρας διαλαμβάνουσα; ἡ δὲ τοῦ θεοῦ πάροδος τίς; τί δὲ αὐτοῦ τὸ ὀπίσθιον, ὅπερ αἰτήσαντι τῷ Μωϋσεῖ τὴν κατὰ πρόσωπον ὄψιν δώσειν ὁ θεὸς ἐπηγγείλατο; χρὴ γὰρ πάντως μέγα τι τούτων πάντων ἕκαστον εἶναι καὶ τῆς τοῦ διδόντος μεγαλοδωρεᾶς ἐπάξιον, ὥστε πάσης τῆς γενομένης ἤδη τῷ μεγάλῳ θεράποντι θεοφανείας τὴν ἐπαγγελίαν ταύτην μεγαλοπρεπεστέραν τε καὶ ὑψηλοτέραν πιστεύεσθαι. πῶς ἂν οὖν τις τὸ ὕψος ἐκ τῶν εἰρημένων κατανοήσειεν, ἐφ' ὃ μετὰ τοσαύτας ἀναβάσεις ὅ τε Μωϋσῆς ἀναβῆναι ποθεῖ καὶ ὁ τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργῶν εἰς τὸ ἀγαθὸν ἐξευμαρίζει διὰ τῆς ὁδηγίας τὴν ἄνοδον· Ἰδοὺ τόπος, φησί, παρ' ἐμοί;

Συμβαίνει τάχα τοῖς προτεθεωρημένοις τὸ νόημα. τόπον γὰρ εἰπὼν οὐ περιείργει τῷ ποσῷ τὸ δεικνύμενον (ἐπὶ γὰρ τοῦ ἀπόσου μέτρον οὐκ ἔστιν), ἀλλὰ τῇ παραλήψει τῆς κατὰ τὸ μέτρον περιγραφῆς ἐπὶ τὸ ἄπειρόν τε καὶ ἀόριστον χειραγωγεῖ τὸν ἀκούοντα. δοκεῖ τοίνυν τοιοῦτόν τινα νοῦν ὑποσημαίνειν ὁ λόγος· ἐπειδή σοι πρὸς τὸ ἔμπροσθεν ἡ ἐπιθυμία συντέταται καί σοι κόρος τοῦ δρόμου οὐδεὶς οὐδέ τινα ὅρον τοῦ ἀγαθοῦ ἐπίστασαι, ἀλλ' ἀεὶ πρὸς τὸ πλέον ὁ πόθος βλέπει, τοσοῦτός ἐστιν ὁ παρ' ἐμοὶ τόπος ὥστε τὸν ἐν αὐτῷ διαθέοντα μηδέποτε δυνηθῆναι λῆξαι τοῦ δρόμου.

12-13 cf Rom 8, 28 13-14 Ex 33, 21

ΚΛΟSH 1 lemma ad τόπος habet τίς ὁ τόπος καὶ ἡ πέτρα καὶ τὸ χώρημα καὶ ἡ χεὶρ τοῦ θεοῦ O quod in margine praebet K 2 δαὶ: δὲ ΛSH v τὸ ἐν τῇ πέτρᾳ χώρημα ΚΟ 3 δαὶ: δὲ ΛSH v ἡ χεὶρ ΚΟΗ v τοῦ κοίλου post στόμιον add KOSH v 4 πάροδος: παράδοσις S 6 πάντων om KOSH v 7 μεγαλοδωρίας Λ 10 πῶς οὖν ἂν Λ v τὸ aliud post ὕψος add S v 11 ἐφ' ᾧ v τὰς post μετὰ add v 15 προθεωρηθεῖσι ΚΟ 17 ἀπόσου: πόσου Λ 18 κατὰ τὸ μέτρον om S 21 συντέτακται Λ (quamvis deleverit κ manus rec) et v συντείνεται H τοῦ δρόμου κόρος ΚΟΗ v 22 ὅρον: κόρον v ὅρον (κόρον) post ἀγαθοῦ coll ΚΟΗ (v)

ὁ δὲ δρόμος ἑτέρῳ λόγῳ στάσις ἐστί· Στήσω γάρ σε, φησίν, ἐπὶ τῆς πέτρας.

Τοῦτο δὴ τὸ πάντων παραδοξότατον, πῶς τὸ αὐτὸ καὶ στάσις ἐστὶ καὶ κίνησις. ὁ γὰρ ἀνιὼν πάντως οὐχ ἵσταται καὶ ὁ ἑστὼς οὐκ ἀνέρχεται, ἐνταῦθα δὲ διὰ τοῦ ἑστάναι τὸ ἀναβῆναι γίνεται· τοῦτο δέ ἐστιν ὅτι ὅσῳ τις παγίως τε καὶ ἀμεταθέτως ἐν τῷ ἀγαθῷ διαμένει, τοσούτῳ πλέον τὸν τῆς ἀρετῆς διανύει δρόμον. ὁ γὰρ περισφαλής τε καὶ ὀλισθηρὸς κατὰ τὴν τῶν λογισμῶν βάσιν, ἀβέβαιον τὴν ἐν τῷ καλῷ στάσιν ἔχων, κλυδωνιζόμενός τε καὶ πεφιφερόμενος, καθώς φησιν ὁ ἀπόστολος, καὶ ταῖς περὶ τῶν ὄντων ὑπολήψεσιν ἐπιδιστάζων καὶ κραδαινόμενος οὐκ ἄν ποτε πρὸς τὸ ὕψος τῆς ἀρετῆς ἀναδράμοι. ὡς οἱ διὰ ψάμμου βαδίζοντες πρὸς τὸ ἄναντες, κἂν μεγάλα τύχωσι τοῖς ποσὶ διαβαίνοντες, ἀνήνυτα μοχθοῦσιν ἀεὶ πρὸς τὸ κάτω τῆς βάσεως συγκαταρρεούσης τῇ ψάμμῳ, ὡς τὴν μὲν κίνησιν ἐνεργεῖσθαι, πρόοδον δὲ μηδεμίαν τῆς κινήσεως γίνεσθαι. εἰ δέ τις, καθὼς ἡ ψαλμῳδία φησί, τῆς τοῦ βυθοῦ ὑποστάθμης ἀνασπάσας τοὺς πόδας ἐπὶ τῆς πέτρας τούτους ἐρείσειεν (ἡ πέτρα δέ ἐστιν ὁ Χριστός, ἡ παντελὴς ἀρετή), ὅσῳ μᾶλλον ἑδραῖος ἐν τῷ ἀγαθῷ καὶ ἀμετακίνητος κατὰ τὴν συμβουλὴν τοῦ Παύλου γίνεται, τοσούτῳ θᾶττον διανύει τὸν δρόμον οἷόν τινι πτερῷ τῇ στάσει χρώμενος καὶ πρὸς τὴν ἄνω πορείαν διὰ τῆς βεβαιότητος τοῦ ἀγαθοῦ τὴν καρδίαν πτερούμενος.

1-2 cf Ex 33, 22; Ps 39, 3 10 Eph 4, 14 18-20 cf Ps 39, 3 20 I Cor 10, 5 21 cf I Cor 15, 58

ΚΛΟΣΗ 2 ἐπὶ: ἐν ὀπῇ S 3 δὴ: δὲ KOS v τὸ pr om KO παραδοξότερον KO γίνεται om S 7 πάγιος . . . ἀμετάθετος KOSH v 8 διανύει: δεικνύει S 9 ὀλισθηρὰ Λ 10 καὶ post ἔχων add S 14 κἂν: καὶ O μέγαλα τύχωσι: μεγαλύνουσι KO ποσὶ: ἴχνεσι KO 15 ἀνήνυτα: ἀνόνητα v 16 συνκαταρεούσης O τῇ ψάμμῳ: τῆς ψάμμου Λ 18 ταῖς (vel τοῖς) . . . ὑποστάθμαις Λ (sed corr Λ²) 19 ἀποσπάσας KO τῇ πέτρᾳ Λ τούτους om H ταύτῃ Λ ἐρήσειεν H 20 ὅσῳ: ὅσον Λ (sed corr ut vid Λ²) ὃ ante corr O 21-22 τὴν τοῦ Π. συμβουλίαν KO 22 τοσοῦτον Λ 23 πτερῷ: δρόμῳ Λ 24 πτερούμενος τὴν καρδίαν KO

Ὁ οὖν ὑποδείξας τῷ Μωϋσεῖ τὸν τόπον παρορμᾷ πρὸς τὸν δρόμον. τήν τε ἐπὶ τῆς πέτρας ἐπαγγειλάμενος στάσιν τὸν τρόπον τῆς θείας ἐκείνης σταδιοδρομίας αὐτῷ ὑποδείκνυσι. 408 M. τὸ δὲ ἐν τῇ πέτρᾳ χώρημα, ἣν ὀπὴν ὀνομάζει ὁ λόγος, ἰδίοις λόγοις ἡρμήνευσεν οἰκίαν ἀχειροποίητον οὐρανίαν ἀποκεῖσθαι δι' ἐλπίδος τοῖς τὴν γηΐνην σκηνὴν διαδύσασι λέγων. ἀληθῶς γὰρ ὁ τὸν δρόμον τελέσας, καθώς φησιν ὁ ἀπόστολος, ἐν ἐκείνῳ τῷ πλατεῖ καὶ εὐρυχώρῳ σταδίῳ, ὃν τόπον ὀνομάζει ἡ θεία γραφή, καὶ τὴν πίστιν τηρήσας ὄντως, καθώς φησι τὸ αἴνιγμα, ἐπὶ τῆς πέτρας τοὺς ἰδίους πόδας ἐρείσας, οὗτος τῷ τῆς δικαιοσύνης στεφάνῳ παρὰ τῆς χειρὸς τοῦ ἀγωνοθέτου καλλωπισθήσεται. τὸ δὲ τοιοῦτον γέρας διαφόρως παρὰ τῆς γραφῆς ὀνομάζεται· τὸ γὰρ αὐτὸ ἐνταῦθα μὲν χώρημα πέτρας λέγεται, ἐν ἑτέροις δὲ παραδείσου τρυφὴ καὶ αἰωνία σκηνὴ καὶ μονὴ παρὰ τῷ πατρὶ καὶ πατριάρχου κόλπος καὶ χώρα ζώντων καὶ ὕδωρ ἀναπαύσεως καὶ ἄνω Ἰερουσαλὴμ καὶ βασιλεία οὐρανῶν καὶ βραβεῖον κλήσεως καὶ στέφανος χαρίτων καὶ στέφανος τρυφῆς καὶ στέφανος κάλλους καὶ πύργος ἰσχύος καὶ ἐπιτραπέζιος εὐφροσύνη καὶ θεοῦ συνεδρία καὶ θρόνος κρίσεως καὶ τόπος ὀνομαστὸς καὶ σκηνὴ ἀπόκρυφος. ἓν οὖν καὶ τοῦτό φαμεν εἶναι τῶν εἰς τοῦτο φερόντων τὸ νόημα τὴν εἰς τὴν πέτραν τοῦ Μωϋσέως εἴσοδον. ἐπειδὴ γὰρ Χριστὸς ἡ πέτρα παρὰ τοῦ Παύλου νενόηται, πᾶσα

5 II Cor 5, 1 7 II Tim 4, 7 23 I Cor 10, 5

ΚΛΟΣΗ 1 παρορμᾶν Ο 2 τε: δὲ S v 4 in margine τίς ἡ ὀπὴ τῆς πέτρας praebent ΚΟ post ὁ λόγος add καλῶς ὁ θεῖος ἀπόστολος KOS v ante ἰδίοις add τοῖς ΚΟSΗ ἐν τοῖς add v 5 ἑρμήνευσεν Λ διηρμήνευσεν Η v οὐράνιον Λ ὑποκεῖσθαι ΚΟ 6 σκηνὴν om Λ διαδύσασι: διαλύσασι ΚΟΗ v λέγων: λέγει S 8 σταδίῳ om ΚΟ τρόπον Η 9 γραφή: φωνή v ὄντως ex ἔντως correctum vid in KS: ἤτοι v 10 οὗτος: οὕτως Λ² 12 τοιοῦτο KOS lemma ποσαχῶς ἡ πέτρα νενόηται Ο quod in margine Κ 13 χώρημα ante ἐνταῦθα coll ΚΟ 14 πέτρα ΚΟ παράδεισος τρυφῆς Λ 15 καὶ μονὴ om ΚΟSΗ 16 ἡ ἄνω v 17 καὶ pr om Λ 18 καὶ στέφανος τρυφῆς om v 20 ὀνόματος S 21 οὖν om Η εἶναι om Η

δὲ ἀγαθῶν ἐλπὶς ἐν τῷ Χριστῷ εἶναι πεπίστευται, ἐν ᾧ πάντας εἶναι τοὺς θησαυροὺς τῶν ἀγαθῶν μεμαθήκαμεν, ὁ ἐν ἀγαθῷ τινι γενάμενος ἐν τῷ Χριστῷ πάντως ἐστὶ τῷ περιεκτικῷ παντὸς ἀγαθοῦ.

Ὁ δὲ μέχρι τούτου φθάσας καὶ ὑπὸ τῆς τοῦ θεοῦ χειρὸς σκεπασθείς, καθὼς ὁ λόγος ἐπήγγελται (χεὶρ δ' ἂν εἴη τοῦ θεοῦ ἡ δημιουργικὴ τῶν ὄντων δύναμις, ὁ μονογενὴς θεός, δι' οὗ τὰ πάντα ἐγένετο, ὃς καὶ τοῖς τρέχουσι τόπος ἐστίν, ὁδὸς τοῦ δρόμου γινόμενος κατὰ τὴν ἰδίαν φωνὴν καὶ πέτρα γίνεται τοῖς βεβαίοις καὶ οἶκος τοῖς ἀναπαυομένοις), τότε ἀκούσεται τοῦ προσκαλουμένου καὶ κατόπιν τοῦ καλοῦντος ὀφθήσεται, τουτέστιν, ὀπίσω κυρίου τοῦ θεοῦ πορεύσεται, καθὼς ὁ νόμος παρεγγυᾷ. ὅπερ ἀκούσας ἐνόησε καὶ ὁ μέγας Δαβὶδ τῷ μὲν κατοικοῦντι ἐν βοηθείᾳ τοῦ ὑψίστου λέγων, ὅτι Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, ὅπερ ἴσον ἐστὶ τοῦ κατόπιν αὐτὸν τοῦ θεοῦ εἶναι (ἐν γὰρ ὀπισθιδίοις ἐστὶ τὸ μετάφρενον), περὶ ἑαυτοῦ δὲ τοῦτο βοῶν ὅτι Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. ὁρᾷς πῶς συμβαίνει τῇ ἱστορίᾳ ἡ ψαλμῳδία; ὡς γὰρ οὗτός φησι, τῷ ὀπίσω τοῦ θεοῦ κεκολλημένῳ τὴν τῆς δεξιᾶς εἶναι ἀντίληψιν, οὕτω κἀκεῖ ἡ χεὶρ ἅπτεται τοῦ ἐν τῇ πέτρᾳ τὴν θείαν φωνὴν ἀναμένοντος καὶ κατόπιν ἀκολουθεῖν εὐχομένου. ἀλλὰ καὶ ὁ κύριος, ὁ τότε τῷ Μωϋσεῖ χρηματίσας, ὁ πληρωτὴς τοῦ ἰδίου νόμου γινόμενος, ὁμοίως πρὸς τοὺς μαθητὰς διεξέρχεται ἀπογυμνῶν τῶν ἐν αἰνίγματι ῥηθέντων εἰς τὸ ἐμφανὲς τὴν διάνοιαν· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, λέγων,

7-8 Joh 1, 3   9 Joh 14, 6; cf II Tim 4, 7   12-13 Deut 13, 4   15 Ps 90, 4   17-18 Ps, 62, 9   26 Luc 9, 23

ΚΛΟSH 1 πιστεύεται KOS v   3 γενόμενος SH v   5 χειρὸς τοῦ θεοῦ KO   6 ὁ om Λ (sed add Λ²)   ἐπηγγείλατο v   11 καὶ om O   12 ὀφθήσεται: γενήσεται v   hic lemma περὶ τῶν ὀπισθίων· τί τὰ ὀπίσθια O et in margine K   13 καὶ om H   15 ὅτι om S   αὐτοῦ S   σοι om Λ   16 τῷ κατόπιν v   τοῖς post γὰρ add ΛH v   ὀπισθιδίοις KOS: ὀπισθίοις ΛH v   17 δὲ post περὶ coll Λ   ἑαυτοῦ OSΛ² v: αὐτοῦ KΛH   βοῶν ὅτι: βοῶντος H   23 τότε SHΛ² v: τε KΛO   24 γενόμενος SH v   τοὺς om H

οὐκ· εἴ τις ἔμπροσθεν. καὶ τῷ περὶ τῆς αἰωνίου ζωῆς ἱκετεύοντι τὸ αὐτὸ τοῦτο ὑποτίθεται· Δεῦρο γάρ, φησίν, καὶ ἀκολούθει μοι. ὁ δὲ ἀκολουθῶν τὸ ὀπίσω βλέπει.

Οὐκοῦν διδάσκεται νῦν ὁ Μωϋσῆς, ὁ ἰδεῖν τὸν θεὸν 409 M. σπεύδων, πῶς ἔστιν ἰδεῖν τὸν θεόν, ὅτι τὸ ἀκολουθεῖν τῷ θεῷ, καθ' ὅπερ ἂν καθηγῆται, τοῦτο βλέπειν ἐστὶ τὸν θεόν. ἡ γὰρ πάροδος αὐτοῦ τὴν ὁδηγίαν τοῦ ἑπομένου διασημαίνει, οὐ γὰρ ἔστιν ἄλλως τὸν ἀγνοοῦντα τὴν ὁδὸν ἀσφαλῶς διανύσαι μὴ τῷ καθηγουμένῳ κατόπιν ἑπόμενον. ὁ οὖν ὁδηγῶν τῷ προηγεῖσθαι τῷ ἑπομένῳ τὴν ὁδὸν ὑποδείκνυσιν. ὁ δὲ ἑπόμενος τότε τῆς εὐθείας οὐκ ἐκτραπήσεται, εἰ τὸ ὀπίσω ἀεὶ τοῦ ἡγουμένου βλέποι. ὁ γὰρ ἐπὶ τὰ πλάγια τῇ κινήσει παραφερόμενος ἢ ἀντιπρόσωπον φέρων τῷ ὁδηγοῦντι τὸ βλέμμα, ἄλλην ἑαυτῷ καινοτομεῖ πορείαν, οὐχ ἣν ὁ ὁδηγὸς ὑποδείκνυσι. διό φησι πρὸς τὸν ὁδηγούμενον ὅτι Τὸ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι· τουτέστι, μὴ ἀντιπρόσωπος γίνου τῷ ὁδηγοῦντι. πρὸς γὰρ τὸ ἐναντίον πάντως ὁ δρόμος ἔσται. ἀγαθὸν γὰρ ἀγαθῷ οὐκ ἀντιβλέπει ἀλλ' ἕπεται. τὸ δὲ ἐκ τοῦ ἐναντίου νοούμενον τῷ ἀγαθῷ ἀντιπρόσωπον γίνεται· ἡ κακία ἐξ ἐναντίου τῇ ἀρετῇ βλέπει, ἀρετὴ δὲ οὐκ ἀντιθεωρεῖται τῇ ἀρετῇ ἀντιπρόσωπος. ὁ οὖν Μωϋσῆς οὐκ ἀντιβλέπει τῷ θεῷ, ἀλλὰ τὰ ὀπίσω αὐτοῦ βλέπει. ὁ γὰρ ἀντιβλέπων οὐ ζήσεται, καθὼς μαρτυρεῖ ἡ θεία φωνὴ ὅτι Οὐδεὶς ὄψεται τὸ πρόσωπον κυρίου καὶ ζήσεται. ὁρᾷς ὅσον ἐστὶ τὸ μαθεῖν ἀκολουθῆσαι θεῷ, ὅτι μετὰ τὰς ὑψηλὰς ἐκείνας ἀναβάσεις

2-3 Luc 18, 22   15-16 Gen 43, 3; cf Ex 33, 20   23-24 cf Ex 33, 20

ΚΛΟSH 1 τῷ: τὸ Λ (sed corr Λ²)   2 τοῦτο om ΛS   καὶ om v   3 τὸ om H   ὀπίσω: ὄπισθεν v   4 διδάσκεται: διδάσκει KOS διδασκέτω H   νῦν om H   ὁ (ante ἰδεῖν) om H   4-5 ὁ ἰδεῖν . . . σπεύδων om S   5 σπεύδων . . . θεόν per hom ut vid om H   τῷ θεῷ: τὸν θεὸν Λ   6 καθηγῆται Λ²: καθηγεῖται ΛSH v om KO   τοῦτο: τοῦ KO   τὸν om S   10 τοῦ ἑπομένου H v   11 τότε: πότε K   τὰ ὀπίσω KO   12 βλέπει KO   15 hic ut lemma πῶς τὸ πρόσωπον νοηθείη O in margine autem K   20 γὰρ ante κακία add H v   βλέπει om KOS   ἡ ἀρετὴ S   23 μαρτύρεται SH v μαρτυρεῖται coni Daniélou   καὶ ante ἡ add KO   25 τῷ θεῷ O v

καὶ τὰς φοβεράς τε καὶ ἐνδόξους θεοφανείας πρὸς τῷ τέλει που τῆς ζωῆς μόλις ταύτης ἀξιοῦται τῆς χάριτος ὁ μαθὼν κατόπιν γενέσθαι θεοῦ.

Τῷ δὲ οὕτως ἑπομένῳ τῷ θεῷ οὐκέτι τῶν διὰ κακίας προσοχθισμάτων ἀντιβαίνει οὐδέν. μετὰ ταῦτα γὰρ φθόνος αὐτῷ παρὰ τῶν ἀδελφῶν ἐπιφύεται· φθόνος, τὸ ἀρχέκακον πάθος, ὁ τοῦ θανάτου πατήρ, ἡ πρώτη τῆς ἁμαρτίας εἴσοδος, ἡ τῆς κακίας ῥίζα, ἡ τῆς λύπης γένεσις, ἡ τῶν συμφορῶν μήτηρ, ἡ τῆς ἀπειθείας ὑπόθεσις, ἡ τῆς αἰσχύνης ἀρχή. φθόνος ἡμᾶς τοῦ παραδείσου ἐξῴκισεν, ὄφις κατὰ τῆς Εὔας γενόμενος, φθόνος τοῦ ξύλου τῆς ζωῆς ἀπετείχισε καὶ τῶν ἱερῶν ἐνδυμάτων γυμνώσας, τοῖς τῆς συκῆς φύλλοις δι' αἰσχύνης ὑπήγαγε. φθόνος τὸν Κάϊν κατὰ τῆς φύσεως ὥπλισε καὶ τὸν ἑπτάκις ἐκδικούμενον ἐκαινοτόμησε θάνατον. φθόνος τὸν Ἰωσὴφ δοῦλον ἐποίησε. φθόνος τὸ θανατηφόρον κέντρον, τὸ κεκρυμμένον ὅπλον, ἡ τῆς φύσεως νόσος, ὁ χολώδης ἰός, ἡ ἑκούσιος τηκεδών, τὸ πικρὸν βέλος, ὁ τῆς ψυχῆς ἧλος, τὸ ἐγκάρδιον πῦρ, ἡ τοῖς σπλάγχνοις ἐγκαιομένη φλόξ. ᾧ ἀτύχημα μέν ἐστιν οὐ τὸ ἴδιον κακὸν ἀλλὰ τὸ ἀλλότριον ἀγαθόν. κατόρθωμα δὲ πάλιν ἐκ τοῦ ἐναντίου, οὐ τὸ οἰκεῖον καλὸν ἀλλὰ τὸ τοῦ πέλας κακόν. φθόνος ὁ ταῖς εὐπραγίαις τῶν ἀνθρώπων ἐποδυνώμενος καὶ ταῖς συμφοραῖς ἐπεμβαίνων. φθείρεσθαι τοὺς νεκροβόρους γῦπας τῷ μύρῳ λέγουσι. πρὸς γὰρ τὸ δυσῶδες καὶ διεφθορὸς αὐτῶν ἡ φύσις ᾠκείωται. καὶ ὁ τῇ νόσῳ ταύτῃ κρατούμενος τῇ μὲν εὐημερίᾳ

5 sqq cf locum communem de invidia apud Clem Rom 4, 7-6, 4
18 cf Plat Phaed 83d 23 sqq cf Plut De cap ex inim util 87c; Plin Hist nat 11, 279

ΚΛΟSH 2 μόλις: μόγις KSH v ὁ μαθὼν: τὸ μαθεῖν KO 3 γίνεσθαι H v 4 τῷ alt om KO 4-5 hic lemma ἰδιώματα τοῦ φθόνου O et in margine K 5 γὰρ: δὲ KO 8 γέννησις S 9 ἀπειθείας (institutio scilicet inobedientiae): ἀπαθείας Λ quod perperam in ἐμπαθείας corr Λ² 12 τοῖς: τοὺς S φύλλοις: κλάδοις H v κλάδους S 13 ἐπήγαγε S 18 ἐνκάρδιον K ἐκκαιομένη KOH 21 τοῦ: τὸ O 22 εὐπραγίαις: εὐτυχίαις v ἐπωδυνόμενος Λ (sed corr Λ²) 24 τὸ διεφθορὸς KO 25 οἰκείωται KO et Λ (sed ᾠ ex οἰ corr Λ²) ὁ τῇ: ὅτι Λ (sed corr Λ²)

τῶν πέλας οἷόν τινος μύρου προσβολῇ καταφθείρεται, εἰ δέ τι πάθος ἐκ συμφορᾶς ἴδοι, πρὸς τοῦτο καθίπταται καὶ ἀγκύλον ἐπάγει στόμα τὰ κεκρυμμένα ἐξέλκων τοῦ δυστυχήματος. πολλοὺς ὁ φθόνος τῶν πρὸ Μωϋσέως κατηγωνίσατο. τῷ δὲ μεγάλῳ τούτῳ προσενεχθείς, οἷόν τι πλάσμα πήλινον πέτρᾳ προσαραχθέν, ἑαυτῷ περιτρίβεται. ἐν τούτῳ γὰρ μάλιστα διεδείχθη τῆς μετὰ τοῦ θεοῦ πορείας τὸ κέρδος,
412 M. ἣν ἐποιεῖτο Μωϋσῆς, ὁ ἐν τῷ θείῳ τόπῳ δραμὼν καὶ ἐπὶ τῆς πέτρας ἑστὼς καὶ τῷ χωρήματι ταύτης περιεχόμενος καὶ τῇ χειρὶ τοῦ θεοῦ σκεπαζόμενος καὶ κατόπιν τῷ ἡγουμένῳ ἑπόμενος, ὁ μὴ ἀντιβλέπων ἀλλὰ τὰ ὀπίσθια βλέπων. τὸν οὖν ἐφ' ἑαυτοῦ γενόμενον μακαριστὸν τῷ ἕπεσθαι τῷ θεῷ ἀποδείκνυσι καὶ τὸ φανῆναι αὐτὸν τῆς τοῦ τόξου βολῆς ὑψηλότερον. πέμπει γὰρ καὶ κατ' ἐκείνου τὸ βέλος ὁ φθόνος, ἀλλ' οὐ καθικνεῖται ἡ βολὴ τοῦ ὕψους, ἐν ᾧ ἦν Μωϋσῆς. ἠτόνησε γὰρ ἡ νευρὰ τῆς πονηρίας τοσοῦτον ἀποτοξεῦσαι τὸ πάθος ὡς ἀπὸ τῶν προνενοσηκότων καὶ εἰς αὐτὸν διαβῆναι. ἀλλ' ὁ μὲν Ἀαρὼν καὶ ἡ Μαριὰμ τῷ πλήθει τῆς βασκανίας ἐτρώθησαν καὶ οἷόν τι τόξον τοῦ φθόνου γίνονται ἀντὶ βέλους τὸν κατ' αὐτοῦ λόγον ἀποτοξεύσαντες.

Ὁ δὲ τοσοῦτον ἀπέσχεν ἐν κοινωνίᾳ γενέσθαι τοῦ ἀρρωστήματος, ὥστε καὶ θεραπεύει τῶν νενοσηκότων τὸ πάθος, οὐ μόνον αὐτὸς πρὸς τὴν ἄμυναν τῶν λελυπηκότων μένων ἀκίνητος, ἀλλὰ καὶ τὸν θεὸν ἤδη ὑπὲρ αὐτῶν ἱλεούμενος, δεικνύς, οἶμαι, δι' ὧν ἐποίησεν, ὅτι ὁ καλῶς τῷ θυρεῷ τῆς ἀρετῆς

ΚΛΟSΗ 1 πέλας: φίλων SH v   3 τὸ ἀγκύλον v   ἐξέλκον S   5 τι: τινι v   6 προσραγὲν Λ   παρατρίβεται S   11 τὸν: τί Λ   12 ἐφ' ἑαυτῷ ΚΟ ἐφ' ἑαυτῶν Η ἐφ' ἑαυτὸν S v   τῷ ἕπεσθαι: τὸ ἕπεσθαι ΚΟSΗ v   13 τοῦ τόξου: τούτου ΚΟ   ad βολῆς in marg βλάβης habet Ο   14 καὶ om ΚΛΟ   κατ' ἐκείνου: κατὰ κενοῦ ΚΟ   15 βολὴ forte ex βουλὴ corr Ο   16 πονηρίας Λ sed -νη- expungi voluit Λ²   τὸ om Λ (sed superscr eadem manus)   17 καὶ om v   18 μὲν ὁ Λ   Μαρία SH v   πλήθει ΛS: βέλει ΚΟ πάθει Η v   20 κατ': ἀπ' Λ   ἐποτοξεύοντες Λ sed corr Λ²   21 ἀπεῖχεν Η   22 ὥστε: ὅτι SH v   θεραπεύειν ΚΟ   23-24 οὐ μόνον ... ἀκίνητος om Η   24 τὸν om v   ἤδη om v   25 τῆς ἀρετῆς om ΚΟS

πεφραγμένος ταῖς ἀκίσι τῶν βελῶν οὐκ ἀμύσσεται. ἀμβλύνει γὰρ τὴν ἀκμὴν καὶ εἰς τὸ ἔμπαλιν ἀποστρέφει ἡ τοῦ ὅπλου στερρότης. ὅπλον δ' ἂν εἴη τῶν τοιούτων βελῶν φυλακτήριον αὐτὸς ὁ θεός, ὃν ἐνδύεται ὁ τῆς ἀρετῆς ὁπλίτης. Ἐνδύσασθε, γάρ, φησί, τὸν κύριον Ἰησοῦν, τουτέστιν ἡ ἀρραγὴς πανteυχία, ᾗ τινι πεφραγμένος ὁ Μωϋσῆς ἄπρακτον τὸν πονηρὸν τοξότην ἐποίησεν. οὔτε γὰρ ἐνέπεσεν αὐτῷ ἡ ἀμυντικὴ κατὰ τῶν λελυπηκότων ὁρμὴ οὔτε καταδικασθέντων αὐτῶν παρὰ τῆς ἀδεκάστου κρίσεως τὸ πρὸς τὴν φύσιν ἠγνόησε δίκαιον, ἀλλ' ἱκέτης τοῦ θεοῦ γίνεται ὑπὲρ τῶν ἀδελφῶν. ὅπερ οὐκ ἂν ἐποίησεν, εἰ μὴ κατόπιν τοῦ θεοῦ ἦν, τοῦ τὰ ὄπισθεν αὐτῷ πρὸς τὴν ἀσφαλῆ τῆς ἀρετῆς ὁδηγίαν προδιδάξαντος. καὶ τὰ ἄλλα δὲ ἐφεξῆς τοιαῦτα. ἐπειδὴ γὰρ οὐκ ἔσχε κατ' αὐτοῦ χώραν εἰς βλάβην ὁ τῇ φύσει τῶν ἀνθρώπων πολέμιος, τρέπει κατὰ τῶν εὐαλωτοτέρων τὸν πόλεμον. καὶ καθάπερ τι βέλος τὸ τῆς γαστριμαργίας πάθος ἐπαφεὶς τῷ λαῷ, Αἰγυπτιάζειν κατὰ τὴν ὄρεξιν αὐτοὺς παρεσκεύασε προτιθέντας τῆς οὐρανίας ἐκείνης τροφῆς τὴν παρ' Αἰγυπτίοις σαρκοβορίαν. ὁ δὲ ὑψηλὸς τὴν ψυχὴν ἄνω τοῦ τοιούτου πάθους ὑπερπετόμενος ὅλος ἦν τῆς μελλούσης κληρονομίας τῆς ἐπηγγελμένης παρὰ τοῦ θεοῦ τοῖς μεθισταμένοις ἐκ τῆς νοηθείσης Αἰγύπτου καὶ ἐπὶ τὴν γῆν ἐκείνην ὁδοιποροῦσιν ἐν ᾗ βρύει τὸ γάλα συναναμεμιγμένον τῷ μέλιτι. τούτου χάριν κατασκόπους τινὰς διδασκάλους ἐποιεῖτο τῶν ἐν ἐκείνῃ καλῶν. οὗτοι

4-5 Rom 13, 14

ΚΛΟSH 1 περιπεφραγμένος H v οὐκ ἀμύσσεται: οὐ τρωθήσεται H 2 ἀκμὴν: αἰχμὴν v 5 τοῦτό ἐστιν ΛSH v 6 εὐσταλῶς post τινι add Vat 444 περιφραγμένος Vat 444 7 οὔτε: οὕτω v αὐτῷ: αὐτῶν Λ ἡ om Λ ἀμυντικὴ ΚΛΟH et ut vid S: ἀμβλυντικὴ v 10 γίνεται: ἐγένετο H v τοῦ θεοῦ post γίνεται (ἐγένετο) coll ΚΟ(H v) 11 ἦν om ΚΟ τὸ ὄπισθεν S 12 προδιδάξαντος Λ: προδείξαντος SH v παραδείξαντος ΚΟ 14 πολέμιος: πολέμων Λ 15 πολέμιον Λ 16 ἐπαφιεὶς H ἐπαφϛϛ in compendio Λ 17 προτιθέντας: προτιμήσαντες H Mess 50 Vat 2090 18 σαρκοβορρίαν Λ 21 παρὰ: ὑπὸ Λ τοῦ om Λ (sed superscr manus alt) τῆς μεθισταμένης Λ (sed corr Λ²) 23 συναναμιγνύμενον ΚΟ

δ' ἂν εἶεν, κατά γε τὴν ἐμὴν γνώμην, οἱ μὲν τὰς ἀγαθὰς ἐλπίδας προτείναντες, οἱ διὰ τῆς πίστεως ἐγγινόμενοι λογισμοὶ βεβαιοῦντες τῶν ἀποκειμένων ἀγαθῶν τὴν ἐλπιδα, οἱ δὲ ἀπόγνωσιν τῶν χρηστοτέρων ἐμποιοῦντες ἐλπίδων εἶεν ἂν οἱ παρὰ τοῦ ἐναντίου λογισμοί οἱ τὴν πίστιν τῶν ἐπηγγελμένων ἀμβλύνοντες. ἀλλ' οὐδένα τῶν ἐναντίων λόγον ποιούμενος πιστὸν ἡγεῖτο τὸν τὰ κρείττω περὶ τῆς γῆς ἐκείνης ἐπαγγειλάμενον. Ἰησοῦς δὲ ἦν ὁ τῆς κρείττονος κατασκοπῆς καθηγούμενος, ὁ τῇ παρ' ἑαυτοῦ διαβεβαιώσει τὸ πιστὸν τοῖς ἐπηγγελμένοις παρέχων. πρὸς ὃν βλέπων ὁ Μωϋσῆς βεβαίας εἶχε τὰς ὑπὲρ τῶν μελλόντων ἐλπίδας, **413 M.** δεῖγμα τῆς ἐκεῖ τρυφῆς τὸν βότρυν ποιούμενος τὸν ἐπ' ἀναφορέων παρ' αὐτοῦ κομιζόμενον. Ἰησοῦν δὲ πάντως ἀκούων περὶ τῆς γῆς ἐκείνης μηνύοντα καὶ βότρυν ξύλῳ ἀπαιωρούμενον, νοεῖς πρὸς ὅ τι κἀκεῖνος βλέπων ἀσφαλὴς ταῖς ἐλπίσιν ἦν. βότρυς γὰρ ἐπὶ ξύλου κρεμάμενος τίς ἄλλος ἐστὶ παρὰ τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπὶ ξύλου κρεμασθέντα βότρυν, οὗ τὸ αἷμα ποτὸν τοῖς πιστεύουσι γίνεται σωτήριον, τοῦτο τοῦ Μωϋσέως προειπόντος ἡμῖν οἷον δι' αἰνίγματος ὅτι Αἷμα σταφυλῆς ἔπινον οἶνον, δι' οὗ τὸ σωτήριον πάθος καταμηνύεται; πάλιν δὲ διὰ τῆς ἐρήμου ὁδὸς καὶ καταπονεῖται τῇ δίψῃ ὁ τῶν ἀγαθῶν τῆς ἐπαγγελίας ἀπελπίσας λαός.

Ὁ δὲ Μωϋσῆς πάλιν αὐτοῖς κατακλύζει διὰ τῆς πέτρας τὴν ἔρημον. ὁ δὲ τοιοῦτος λόγος τοῦτο ἂν ἡμᾶς διὰ τῆς νοητῆς

17-18 Num 13, 23 20 Deut 32, 14

ΚΛΟSH 1 γε om H 2 προτείνοντες S 4 ἐμποιοῦντες: ποιοῦντες SH v 7 ἡγεῖται v 8 ἐπαγγελλόμενον KOSH v 9 βεβαιώσει KOSH v 11 βεβαίως KO 14 ξύλων SH v 15 ἐπεωρούμενον Λ quod in ἐπαιωρ- corr Λ² ὅ om KOSH κἀκεῖνος om H 17 τὸν: τῶν K (sed o superscr K²) ἐπ' om S ἐσχάτων: ἔσχατον S ἐσχάτω O et K (sed -ν add K²) τοῦ ante ξύλου add ΛH v 19 ἡμῖν: ἡμῶν KO οἷον Λ (ex οἶνον corr videtur) om KOSH v 20 ἔπιον H 21 post καταμηνύεται ego interpunxi sed alii aliter δὲ om KOSH v 22 τῇ δίψῃ: τῷ δίψει H v 23 λαός ἀπελπίσας KO 25 νοητῆς om H

θεωρίας διδάξειεν οἷόν ἐστι τὸ τῆς μετανοίας μυστήριον. οἱ γὰρ πρὸς γαστέρα καὶ σάρκα καὶ τὰς Αἰγυπτίας ἡδονὰς μετὰ τὸ ἅπαξ τῆς πέτρας γεύσασθαι παρατραπέντες τῷ λιμῷ τῆς τῶν ἀγαθῶν μετουσίας καταδικάζονται. ἀλλ' ἔστιν αὐτοῖς πάλιν ἐκ μεταμελείας τὴν πέτραν εὑρεῖν, ἣν κατέλιπον καὶ πάλιν αὐτοῖς ἀναστομῶσαι τὴν φλέβα καὶ πάλιν ἐμφορηθῆναι τοῦ νάματος, ὃ ἡ πέτρα ἐκδίδωσι τῷ τὴν κατασκοπὴν Ἰησοῦ ἀληθεστέραν τῆς τῶν ἐναντίων εἶναι πιστεύσαντι καὶ πρὸς τὸν βότρυν βλέποντι τὸν ὑπὲρ ἡμῶν κρεμασθέντα τῷ πάλιν αὐτοῖς διὰ τοῦ ξύλου βρύειν τὴν πέτραν παρασκευάσαντι.

Ἀλλ' οὔπω κατ' ἴχνος ἕπεσθαι τῇ μεγαλοφυΐᾳ Μωϋσέως ὁ λαὸς ἐπαιδεύθη. ἔτι δὲ πρὸς τὰς ἀνδραποδώδεις ἐπιθυμίας καθέλκεται καὶ πρὸς τὰς Αἰγυπτίας ἡδονὰς ἐπικλίνεται. δείκνυσι δέ πως διὰ τούτων ἡ ἱστορία ὅτι πρὸς μὲν τὸ τοιοῦτον πάθος πάντων μάλιστα κατωφερὴς ἡ ἀνθρωπίνη φύσις ἐστὶ μυρίαις ὁδοῖς ὑπαγομένη τῇ νόσῳ. ὁ δὲ καθάπερ τις ἰατρὸς πρὸς τὸ ἐπικρατοῦν ἀεὶ πάθος διὰ τῆς τέχνης ἱστάμενος οὐκ ἐᾷ κατ' αὐτῶν δυναστεύειν μέχρι θανάτου τὴν νόσον. τοῖς μὲν γὰρ ἡ τῶν ἀτόπων ἐπιθυμία τοὺς ὄφεις ἔτικτε, τὸ δὲ παρ' αὐτῶν δῆγμα θανατηφόρον ἐπῆγε τὸν ἰὸν τοῖς ἀμυχθεῖσι τῷ δήγματι, ὁ δὲ μέγας νομοθέτης ὄφεως εἴδει τὴν

9 cf Joh 15, 1 19 sqq Num 21, 6-9

ΚΛΟΣΗ 2 σάρκας S Αἰγυπτίους S 3 in margine θεωρία τῆς πέτρας τῆς ἐκβλυζούσης τὸ ὕδωρ K γεύσασθαι τῆς πέτρας H v λιμῷ ΚΛΟS: λογισμῷ H λιμῷ καὶ τῶν λογισμῶν v λιμῷ καὶ τῷ χωρισμῷ corrigi voluit Ducaeus ex quo χωρισμῷ simpliciter coni Daniélou 6 αὐτοῖς: ἑαυτοῖς v καὶ om SH v πάλιν om Λ 9 ἀναβλέποντι v κρεμασθέντα Λ: αἱμαχθέντα KOSH forte ut glossa primitiva vel ut vis vocabuli paulo attenuetur, hinc ex codd recc αἷμα στάξαντα καὶ αἱμαχθέντα v κρεμασθέντα καὶ αἱμαχθέντα coni Daniélou 10 κατασκευάσαντι H v 11 τοῦ Μωϋσέως KO in margine τί οἱ ὄφεις καὶ τί τὸ παρὰ τοῦ Μωϋσέως εἶδος τοῦ ὄφεως K 14 πως om KO μὲν om KOSH v 16 ἐπαγομένη Λ τῇ νόσῳ: τῷ πάθει KO ὁ δὲ: διὸ H v 17 τέχνης ex τέχης O corr O² 19 τοὺς μὲν γὰρ ὄφεις ἡ . . . ἐπιθυμία ἔτικτε KO ἔτικτε: ἔτεκε S in margine ἔτι σαφέστερον περὶ τούτων praebet K et περὶ τοῦ χαλ(κοῦς) ὄφεως Λ

δύναμιν τῶν κατὰ ἀλήθειαν θηρίων ἠχρείωσε. καιρὸς δ' ἂν εἴη σαφέστερον ἐκκαλύψαι τὸ αἴνιγμα. ἕν τι τῶν πονηρῶν τούτων παθημάτων ἐστὶν ἀλεξητήριον, ἡ διὰ τοῦ μυστηρίου τῆς εὐσεβείας γινομένη τῶν ψυχῶν ἡμῶν κάθαρσις. κεφάλαιον δὲ τῶν ἐν τῷ μυστηρίῳ πεπιστευμένων ἡ εἰς τὸ πάθος πίστις ἐστὶ τοῦ ὑπὲρ ἡμῶν ἀναδεξαμένου τὸ πάθος. ἔστι δὲ σταυρὸς τὸ πάθος ὥστε τὸν πρὸς αὐτὸν βλέποντα, καθὼς ὑφηγεῖται ὁ λόγος, ὑπὸ τοῦ ἰοῦ τῆς ἐπιθυμίας μὴ βλάπτεσθαι. τὸ δὲ πρὸς τὸν σταυρὸν βλέπειν τοῦτό ἐστι τὸ πάντα τὸν ἑαυτοῦ βίον ὡς νεκρὸν τῷ κόσμῳ καὶ ἐσταυρωμένον ποιῆσαι πρὸς πᾶσαν ἁμαρτίαν ἀκίνητον ὄντως, καθώς φησιν ὁ προφήτης, καθηλοῦντα τῷ θείῳ φόβῳ σάρκας τὰς ἰδίας. ἧλος δ' ἂν εἴη σαρκῶν καθεκτικὸς ἡ ἐγκράτεια. ἐπεὶ οὖν ἡ τῶν ἀτόπων ἐπιθυμία τοὺς θανατηφόρους ὄφεις ἐκ τῆς γῆς ἐπισπᾶται (πᾶν γὰρ τῆς πονηρᾶς ἐπιθυμίας ἔκγονον ὄφις ἐστί), τούτου χάριν προδείκνυσιν ὁ νόμος ἡμῖν τὸ ἐπὶ τοῦ ξύλου φαινόμενον. τοῦτο δέ ἐστιν ὁμοίωμα ὄφεως καὶ οὐχὶ
416 M. ὄφις, καθὼς καὶ ὁ μέγας Παῦλός φησιν, Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας. ὁ δὲ ἀληθὴς ὄφις ἡ ἁμαρτία ἐστί, καὶ ὁ πρὸς τὴν ἁμαρτίαν αὐτομολήσας τὴν τοῦ ὄφεως ὑποδύεται φύσιν. ἐλευθεροῦται οὖν τῆς ἁμαρτίας ὁ ἄνθρωπος διὰ τοῦ ὑπελθόντος τὸ τῆς ἁμαρτίας εἶδος καὶ γενομένου καθ' ἡμᾶς τοὺς πρὸς τὸ εἶδος μεταστραφέντας τοῦ ὄφεως,

7-8 Num 21, 9; cf Joh 3, 15 9-10 cf Gal 6, 14 12-13 cf Ps 118, 120 18-19 Rom 8, 3

ΚΛΟSH 1 κατὰ ἀλήθειαν om Λ 2 ἐκκαλυφθῆναι K ἐκκαλύφθαι O ἕν τι Λ v: ἐπὶ OSH ἐπεὶ KO² 3 τούτων om KOSH ἀλεξιτήριον O 4 ἡμῶν om S 5 πιστευομένων S εἰς: κατὰ KO 6 πίστις om H v ἀπόβλεψις ante τοῦ add v 6-7 σταυρὸς δὲ τὸ πάθος ἐστὶν KOSH v 7 τὸ πάθος: τοῦτο KO 8 μὴ supra lineam add H 11 ἀκίνητον: ἀνίκητον H ὄντως: ὄντα v 12 προφήτης: ἀφήτης (sic) S καθηλοῦνται H τὰς ἰδίας σάρκας KOH v 13 δ' om Λ sed superscr manus alt 13-14 ἐπεὶ οὖν ἡ . . . ἐπιθυμία ΛH v: ἡ ἐπεὶ τῆς . . . ἐπιθυμίας ut vid S ἡ τῆς . . . ἐπιθυμίας KO 15 τὸ post γὰρ add Λ ἔγγονον H v 16 τοῦ om H v 18 μέγας: θεῖος H v 19 ἡ ante ἁμαρτία om KO 20 ἁμαρτίαν: ἐναντίαν S

δι' οὗ ὁ μὲν θάνατος ὁ ἐκ τῶν δηγμάτων κωλύεται, αὐτὰ δὲ τὰ θηρία οὐκ ἀφανίζεται, θηρία δὲ λέγω τὰς ἐπιθυμίας. τῶν γὰρ εἰς τὸν σταυρὸν βλεπόντων ὁ μὲν πονηρὸς τῶν ἁμαρτωλῶν θάνατος οὐκ ἐνεργεῖται· ἡ δὲ ἐγκειμένη τῇ σαρκὶ κατὰ τοῦ πνεύματος ἐπιθυμία εἰς τὸ παντελὲς οὐκ ἀπόλωλε. καὶ γὰρ καὶ ἐν τοῖς πιστοῖς πολλάκις ἐνεργεῖ τῆς ἐπιθυμίας τὰ δήγματα, ἀλλ' ὁ πρὸς τὸν ἐπὶ τοῦ ξύλου ὑψωθέντα βλέπων ἀπωθεῖται τὸ πάθος, οἷόν τινι φαρμάκῳ τῷ τῆς ἐντολῆς φόβῳ τὸν ἰὸν διαχέας.

Τὸ δὲ σύμβολον εἶναι τοῦ κατὰ τὸν σταυρὸν μυστηρίου τὸν ὑψωθέντα ὄφιν ἐν τῇ ἐρήμῳ φανερῶς ἡ τοῦ κυρίου φωνὴ διδάσκει ἐν οἷς φησιν ὅτι Καθὼς ὕψωσε Μωϋσῆς ἐν τῇ ἐρήμῳ τὸν ὄφιν, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. πάλιν τῇ οἰκείᾳ ὁδῷ κατά τινα κακὴν ἀκολουθίαν ἡ ἁμαρτία προέρχεται, οἷον εἱρμῷ τινι πονηρῷ κατὰ τὸ ἀκόλουθον προϊοῦσα. καὶ ὁ νομοθέτης καθάπερ τις ἰατρὸς τῇ τοῦ κακοῦ φορᾷ συμπαρατείνει τὴν θεραπείαν. ἐπειδὴ γὰρ ἄπρακτον ἐγένετο τὸ δῆγμα τῶν ὄφεων τοῖς εἰς τὸ ὁμοίωμα τοῦ ὄφεως βλέπουσι (νοεῖς δὲ πάντως διὰ τῶν εἰρημένων τὸ αἴνιγμα), ἄλλη μέθοδος ἁμαρτίας ἐπινοεῖται τῷ ποικίλως τὰ τοιαῦτα καθ' ἡμῶν σοφιστεύοντι. ὃ δὴ καὶ νῦν ἐν πολλοῖς ἔστιν ἰδεῖν γινόμενον. ἐπειδὰν γάρ τινες διὰ σωφρονεστέρου βίου τὸ τῆς ἐπιθυμίας πάθος κολάσωσιν, ἐπὶ τὴν ἱερωσύνην ἑαυτοὺς εἰσωθοῦσιν, ἀνθρωπίναις σπουδαῖς καὶ αὐτοχειροτονήτοις ὁρμαῖς εἰς τὴν οἰκονομίαν τοῦ θεοῦ ἐξυβρίζοντες πρὸς ταύτην ἄγει τὴν κακὴν τῆς ἁμαρτίας ἀκολουθίαν ὁ διὰ

4-5 cf Gal 5, 16-17 12-13 Joh 3, 14

ΚΛΟSH 1 δι' οὗ: διὸ KOS ὁ ... θάνατος ὁ ΛΗ v: τὸ ... ἄλγος τὸ KOS 6 πολλάκις post ἐνεργεῖ(ται) coll KO(SH v) ἐνεργεῖται SH v 7 τοῦ om H v 11 κυρίου: θεοῦ H v 11-12 διδάσκει ἡ ... φωνὴ KOH v 12-13 Μωϋσῆς τὸν ὄφιν KO τὸν ὄφιν Μωϋσῆς H v 14 οἰκείᾳ: ἰδίᾳ S 15 προέρχεται Λ v: προσέρχεται KOSH πονηρῶν O 17 θεραπείαν: ἰατρείαν H 18 ὁμοίωμα: ὄνομα Λ 19 τῶν ὀφέων KO δὲ om H 22 ἰδεῖν ἔστι H v 24 ἑαυτοῦ H σπουδαῖς: ὁρμαῖς H περιδρομαῖς v 26 ἀκολουθίαν om Λ cuius loco scripsit ἁμαρτίας quod tamen erasit lacunam relinquens

τῆς ἱστορίας ἐνεργεῖν τὰ κακὰ τοῖς ἀνθρώποις κατηγορούμενος. ἐπειδὴ γὰρ ἐπαύσατο ἡ γῆ τοὺς ὄφεις κατὰ τῶν ἐπιθυμούντων ὠδίνουσα διὰ τῆς εἰς τὸν ὑψωθέντα ἐπὶ τοῦ ξύλου πίστεως καὶ κρείττους ἐπείσθησαν εἶναι τῶν ἰοβόλων δηγμάτων, τότε τοῦ κατ' ἐπιθυμίαν πάθους ὑπεξελθόντος, ἡ τῆς ὑπερηφανίας ἀντεισέρχεται νόσος. καὶ ταπεινὸν εἶναι κρίνοντες τὸ φυλάσσειν ἐφ' ἑαυτῶν τὴν τάξιν ἐφ' ἧς ἐτάχθησαν, εἰσωθοῦσιν ἑαυτοὺς εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα παρώσασθαι τοὺς παρὰ τοῦ θεοῦ τὴν λειτουργίαν ταύτην λαχόντας φιλονεικήσαντες, οἳ χάσματι ὑποληφθέντες ἐξηφανίσθησαν. τὸ δὲ ὅσον ὑπὲρ γῆς ἦν τοῦ τοιούτου συντάγματος, κεραυνοῖς κατεπρήσθη, διδάσκοντος, οἶμαι, τοῦ λόγου διὰ τῆς ἱστορίας ὅτι πέρας ἐστὶ τῆς καθ' ὑπερηφανίαν ἐπάρσεως ἡ εἰς τὸ ὑπόγειον κάθοδος. καὶ τάχα τις διὰ τούτων ὁρμώμενος οὐκ ἀπεικότως ἄνοδον ἐπὶ τὸ κάτω τὴν ὑπερηφανίαν ὁρίσαιτο. εἰ δὲ πρὸς τὸ ἐναντίον τῇ τῶν πολλῶν ὑπολήψει φέρεται ἡ διάνοια, θαυμάσῃς μηδέν· τοῖς γὰρ πολλοῖς δοκεῖ τὸ ὑπὲρ τοὺς ἄλλους εἶναι, τῷ ὀνόματι τῆς ὑπερηφανίας
417 M. σημαίνεσθαι. ἡ δὲ τῶν ἱστορηθέντων ἀλήθεια βεβαιοῖ τὸν ἡμέτερον ὅρον. εἰ γὰρ οἱ ὑπὲρ τοὺς ἄλλους ἑαυτοὺς ἄραντες κάτω που κατεδύησαν χάσματι τῆς γῆς διασχούσης αὐτοῖς, οὐκ ἄν τις καταγνοίη τοῦ ὅρου τοῦ τὴν ὑπερηφανίαν τὴν κατωτάτω πτῶσιν εἶναι ὁριζομένου. πρὸς ταῦτα

10-12 Num 16, 31-35; cf Philo De vita Moysis II, 280-285

ΚΛΟSH 1 τῶν ἀνθρώπων Λ 1-2 ut lemma κατὰ (= κατηγορούμενος?) ὑπερηφανευομένων O quod in margine praebet K 3 τοῦ om KOH v 8 ἱερωσύνης KOSH v 9 τοῦ om KOSH ταύτην om H 10 λαχόντων Λ φιλονικήσαντες O οἵ: ἀλλὰ KO ὑπολειφθέντες Λ (sed corr Λ²) 11 τὸ δ' H γῆν S 11-12 τῷ τοιούτῳ προστάγματι S 12 κατεπρίσθη itacismi gratia H 14 δὲ ante τις add KO 15 ἀπεικότος ΚΛ (sed corr Λ²) 16 ὡρίσατο H τῆς . . . ὑπολήψεως KO 17 θαυμάσῃς KH v : θαυμάσεις ΛOS μηδὲν θαυμάσῃς H v 18 τὸ ante τῷ add S 21 κατεδύθησαν KO κατέδυσαν SH v 22 αὐτοῖς om SH v αὐτοὺς ΚΛΟ quod ex codd recc corr Daniélou τοῦ alt om H 23 κάτω H et ut vid S (nisi κατὰ scribi voluit)

βλέποντας μετριάζειν παιδεύει ὁ Μωϋσῆς καὶ μὴ ἐπαίρεσθαι τοῖς κατορθώμασιν ἀλλ' ἀεὶ τὸ παρὸν εὖ διατίθεσθαι. οὐ γὰρ ἐπειδὴ τῶν ἡδονῶν γέγονας κρείττων, ἤδη σοι ἀνεύθυνον τῷ ἑτέρῳ εἴδει πάθους ἁλίσκεσθαι. πτῶμα γάρ ἐστι πᾶν πάθος ἕως ἂν πάθος ᾖ. διαφορὰ δὲ πτωμάτων ἐν τῇ τῶν παθῶν παραλλαγῇ οὐδεμία. ὁ τῷ λείῳ τῶν ἡδονῶν ὑπολισθήσας πέπτωκε καὶ ὁ διὰ τῆς ὑπερηφανίας ὑποσκελισθεὶς ἀνετράπη. οὐδὲν γὰρ καταπτώματος εἶδος αἱρετὸν τῷ νοῦν ἔχοντι. ἀλλ' ἐπίσης πᾶν πτῶμα φευκτὸν ἕως ἂν πτῶμα ᾖ.

Ὡς εἴ τινα καὶ τῶν νῦν βλέποις ἐν μέρει τινὶ τοῦ κατὰ τὰς ἡδονὰς ἀρρωστήματος καθαρεύοντα, σπουδῇ δὲ πάλιν τῷ δοκεῖν ὑπὲρ τοὺς ἄλλους εἶναι πρὸς τὴν ἱερωσύνην ἑαυτὸν εἰσωθοῦντα, τοῦτον ἐκεῖνον οἴου βλέπειν τὸν ἐν τῷ ὑψώματι τῆς ὑπερηφανίας ὑπόγειον πίπτοντα. διδάσκει γὰρ ἐν τοῖς ἐφεξῆς ὁ νόμος ὅτι θεῖόν τι χρῆμά ἐστιν ἡ ἱερωσύνη καὶ οὐκ ἀνθρώπινον. διδάσκει δὲ οὕτως· ῥάβδους παρ' ἑκάστης φυλῆς ἐπὶ τῷ ὀνόματι τῶν δεδωκότων κατασημάνας προστίθησι τῷ θείῳ θυσιαστηρίῳ, ὥστε τῆς ἄνωθεν χειροτονίας μαρτυρίαν γενέσθαι τὴν ῥάβδον θαύματί τινι θείῳ παρὰ τὰς ἄλλας γενομένην ἐπίσημον. καὶ γενομένου τούτου αἱ μὲν τῶν ἄλλων ῥάβδοι, ὅπερ ἦσαν, διέμειναν, ἡ δὲ τοῦ ἱερέως αὐτὴ ἐν ἑαυτῇ ῥιζωθεῖσα οὐ διά τινος ἀλλοτρίας ἰκμάδος ἀλλὰ τῆς θεόθεν ἐν αὐτῇ ἐντεθείσης δυνάμεως κλάδους καὶ καρπὸν ἀνεβλάστησε καὶ προῆλθεν ὁ καρπὸς εἰς τελείωσιν (κάρυον δὲ ἦν ὁ καρπός), οὗ γενομένου πρὸς εὐταξίαν

16 sqq Num 17, 1-11

ΚΛΟSΗ 1 παιδεύει: κελεύει Η sed in margine γρ καὶ παιδεύει manu alt 2 ἀεὶ: ἢ S om Λ 3 τὸ post σοι add H v 4 ἑτεροειδεῖ Λ 6 παθῶν: παθημάτων SH v λείῳ: νόμῳ KOS 6 τῆς ἡδονῆς SH v 6-7 ἐνολισθήσας v 8 γάρ: δὲ SH v πτώματος Λ αἱρετὸν: ἀρετῶν Λ 10 τῶν om S βλέπεις H 12 τῷ: τοῦ v τὸ H 14 ὑπόγειον om v 15 τι om Λ 16 καθ' ἑκάστης S 17 κατασημήνας v σημάνας KOSH 17-18 προτίθησι SH v 18 τῷ om v θείῳ om KOSH v 22 αὐτὴν ἑαυτῇ (om ἐν) Λ sed corr Λ² ἐν om ΚΛ (sed corr Λ²) O 23 ἐν om KOS κλάδον KO 24 ἐβλάστησε H 25 lemma τί τὸ κάρυον τῆς ἱερατικῆς ῥάβδου O

ἐπαιδεύθη πᾶν τὸ ὑπήκοον. νοεῖν δὲ προσήκει διὰ τοῦ καρποῦ, ὃν ἡ ῥάβδος ἐβλάστησε τοῦ Ἀαρών, οἷον χρὴ εἶναι τὸν ἐν ἱερωσύνῃ βίον ἐγκρατῆ τινα καὶ κατεστυμμένον καὶ περιεσκληκότα τῇ φαινομένῃ ζωῇ, ἔνδοθεν δὲ τὸ ἐδώδιμον ἐν τῷ κρυπτῷ καὶ ἀφανεῖ περιέχοντα, ὃ τότε ἀνακαλύπτεται, ὅταν πεπανθῇ τῷ χρόνῳ ἡ βρῶσις καὶ περιρραγῇ τὸ στυφὸν περιβόλαιον καὶ περιτριβῇ τὸ ξυλῶδες ἐκεῖνο τοῦ ἐδωδίμου προκάλυμμα.

Εἰ δέ τινος ἱερέως λεγομένου καταμάθοις τὸν βίον μηλοειδῆ καὶ εὔπνουν καὶ ῥοδόχροον, οἷοι τῶν πολλῶν εἰσι βύσσῳ καὶ πορφύρᾳ διανθιζόμενοι καὶ ταῖς λιπαραῖς τραπέζαις ἐμπιαινόμενοι, οἱ τὸν διυλισμένον πίνοντες οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι καὶ ὅσα ἄλλα γλυκεῖα δοκεῖ κατὰ τὴν πρόχειρον γεῦσιν τοῖς τὸν ἀπολαυστικὸν ὀπωρίζουσι βίον, καλῶς ἂν ἐπὶ τούτου τὸ εὐαγγελικὸν εἴποις, ὅτι τὸν καρπὸν βλέπων οὐκ ἐπιγινώσκω διὰ τοῦ καρποῦ τὸ ἱερατικὸν δένδρον. ἄλλος ὁ τῆς ἱερωσύνης καρπὸς καὶ οὗτος ἕτερος. ἐκεῖνος ὁ καρπὸς ἐγκράτεια ἦν, τρυφὴ δὲ οὗτος. ἐκεῖνος οὐκ ἀπὸ γηΐνης ἰκμάδος ὑπεπιαίνετο, τούτῳ δὲ πολλοὶ κάτωθεν ἐπιρρέουσιν οἱ τῶν ἡδονῶν ὀχετοί, δι' ὧν πρὸς τὴν τοιαύτην ὥραν ἡ τοῦ βίου ὀπώρα ὑπερυθαίνεται. ὅτε δὲ καὶ τούτου τοῦ πάθους καθαρὸν ἐγένετο τὸ ὑπήκοον, τότε διέξεισι τὸν ἀλλόφυλον

10-11 cf Luc 16, 19 15-16 cf Luc 6, 43-44 20-21 cf Aesch Suppl 997-8

ΚΛΟSH 1-2 in margine τί τὸ κάρυον τῆς ἱερατικῆς ῥάβδου οἷον χρὴ εἶναι τὸν ἐν ἱερωσύνῃ βίον K 2 Ἀαρών: ἱερέως KOH v 2-3 hic maiusc litt ut lemma habet οἷον . . . βίον quod iterum in textu repetit O (nil tale K) 3 τῇ ἱερωσύνῃ Λ τινα καὶ κατεστυμμένον καὶ om KOSH 4 δὲ om KO 5 ἀφανῆ O ἀφανὲς H 6 πεπανθῇ: πεπαυθῇ ex errore typog ut vid v περιραγῇ O 10 ῥοδόχρουν H v 11-12 καὶ . . . ἐμπιαινόμενοι forte ex purgationis motivo om KO ἐμπιαινόμενοι Λ: πιαινόμενοι S ἐμπεπαινόμενοι H 12 τὰ μύρα τὰ πρῶτα Λ 13 γλυκέα KSH v 13-14 τὴν πρώτην γεῦσιν καὶ πρόχειρον H 14 τοῖς: οἷς S ὀπωρίζουσι Λ: πορίζουσι KO ὁρίζουσι SH v 17 ἕτερος: ἄλλος v 18 τρυφῆς KO 19 ὑπορρέουσιν S 19-20 οἱ τῶν om Λ 21 διερυθαίνεται SH v 22 διέξισι O

βίον, καθηγουμένου τοῦ νόμου τῆς βασιλικῆς λεωφόρου 420 M. κατ᾽ οὐδέτερον μέρος τῆς ἐκτροπῆς γινομένης. ἐπισφαλὴς δὲ ἡ ἐπὶ τὰ πλάγια παρατροπὴ τῷ ὁδεύοντι. ὥσπερ γὰρ εἰ δύο κρημνοὶ μίαν ἐπὶ τῆς ἄκρας ῥαχίας ἀτραπὸν ἀποστενοῖεν, κίνδυνός ἐστι τῷ διὰ ταύτης βαίνοντι, ἔνθεν ἢ ἔνθεν παρατραπῆναι τοῦ μέσου (ἴσην γὰρ ἑκατέρωθεν τὸ ἐκ τοῦ κρημνοῦ βάραθρον τὴν ἐκτροπὴν διαδέχεται), οὕτως ὁ νόμος βούλεται τὸν αὐτῷ κατ᾽ ἴχνος ἑπόμενον μὴ καταλιπεῖν τὴν ὁδὸν τὴν καθώς φησιν ὁ κύριος στενήν τε καὶ τεθλιμμένην μήτε ἐπὶ τὸ σκαιόν τε καὶ εὐώνυμον μήτε ἐπὶ τὸ δέξιον νομιζόμενον. δόγμα δέ ἐστιν οὗτος ὁ λόγος ἐν μεσότητι θεωρεῖσθαι τὰς ἀρετὰς ὁριζόμενος, διότι πέφυκε πᾶσα κακία ἢ κατ᾽ ἔλλειψιν ἢ καθ᾽ ὑπέρπτωσιν ἀρετῆς ἐνεργεῖσθαι. οἷον ἐπὶ τῆς ἀνδρείας ἔλλειψις τῆς ἀρετῆς ἐστιν ἡ δειλία, ὑπέρπτωσις δὲ τὸ θράσος, τὸ δὲ ἑκατέρου τούτων καθαρεῦον ἐν μεσότητι τῶν παρακειμένων κακιῶν θεωρεῖται, καὶ ἀρετή ἐστι. κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ ἄλλα πάντα ὅσα πρὸς τὸ κρεῖττον σπουδάζεται, μεσολαβεῖταί πως τοῖς κακοῖς γειτονήμασιν. ἡ σοφία δεινότητός τε καὶ ἀκεραιότητος τὸ μέσον ἔχει. οὔτε τοῦ ὄφεως τὸ φρόνιμον ἐπαινετὸν οὔτε τῆς περιστερᾶς τὸ ἀκέραιον εἰ ἐφ᾽ ἑαυτοῦ μόνου δέοι λαμβάνειν τούτων ἑκάτερον, ἀλλ᾽ ἡ διὰ μέσου τῶν δύο τούτων εὔκρατος ἕξις ἀρετὴ γίνεται. ὁ ἐλλιπὴς κατὰ τὴν σωφροσύνην ἀκόλαστος,

1 cf Num 20, 17; Philo Quod Deus immut sit 159 sqq, Spec leg IV, 168 et alibi 5-6 cf Deut 28, 14 9-10 Matth 7, 14 11 sqq cf Arist Eth Nic 1106b 27, 36 et alibi; videsis In Cant Cant orat 9, 284, 5-15 (Vol VI Jaeger) 20-21 cf Matth 10, 16

ΚΛΟSH 2 οὐδέτερον: ἕτερον v ἐπισφαλὴς: ἐπησφαλίσθη Λ δὲ: γὰρ v 4 οἱ δύο S ἐπὶ: ἀπὸ KO ῥαχίας om KOSH 6 ἴσην: ἴσως KOSH v 7 οὕτως om O (sed superscr O²) 8 αὐτοῦ KO τὴν alt om KO ante στενήν coll H 9 τε om Λ 12 ὁριζόμενον H 13 ἐνεργεῖσθαι: θεωρεῖσθαι H 14 τῆς ἀρετῆς ἐστιν Λ: ἀρετῆς KO ἐστιν ἀρετῆς SH τίς ἐστιν ἀρετῆς v 15 τὸ δ᾽ H τὸ Λ μεσότητι ΛH: μέσῳ τε KOS v 16 κακιῶν post μεσότητι coll H 17 τἄλλα KO 18 κακοῖς om S 21 δέοι μόνου KO 22 εὔκρατος: σύγκρατος Λ v ἀρετῆς KO 23 ἐλλειπὴς ΛO

ὁ πλεονάζων κεκαυστηρίασται τὴν συνείδησιν, καθὼς ὁρίζεται ὁ ἀπόστολος. ὁ μὲν γὰρ ταῖς ἡδοναῖς ἀνέδην ἐκκέχυται, ὁ δὲ καὶ τὸν γάμον ἴσα τῇ μοιχείᾳ βδελύσσεται. ἡ δὲ διὰ μέσου τούτων θεωρουμένη ἕξις σωφροσύνη ἐστίν. ἐπεὶ δέ, καθώς φησιν ὁ κύριος, Ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, ἀλλόφυλον δὲ τοῖς ἑπομένοις τῷ νόμῳ τὸ τῇ ἀρετῇ ἀντικείμενον, ὅπερ ἐστὶν ἡ πονηρία, ὁ διὰ τοῦ κόσμου τούτου κατὰ τὸν βίον ὁδοιπορῶν, ἀσφαλῶς τὴν ἀναγκαίαν ταύτην τῆς ἀρετῆς διανύσει πορείαν, εἰ τὴν λεωφόρον ὄντως τὴν ὑπὸ τῆς ἀρετῆς τριβεῖσάν τε καὶ λευκαινομένην ὁδὸν φυλάσσοι μηδαμοῦ πρὸς τὰς παρακειμένας ἀνοδίας διὰ κακίας παρατρεπόμενος. ἐπεὶ δέ, καθὼς εἴρηται, τῇ ἀνόδῳ τῆς ἀρετῆς καὶ ἡ ἐπιβουλὴ τοῦ ἀντικειμένου συναναβαίνει, καταλλήλως ἑκάστου τῆς εἰς τὸ κακὸν παρατροπῆς τὰς ἀφορμὰς ἐξευροῦσα, τότε πρὸς μεῖζον τοῦ λαοῦ ἐν τῷ κατὰ θεὸν βίῳ αὐξήσαντος ἄλλης ἐπιβουλῆς ὁ ἀντικείμενος ἅπτεται κατὰ τοὺς δεινοὺς τὰ πολεμικά, οἳ τὴν κατὰ στόμα παράταξιν τῶν πλεονεκτούντων κατὰ τὴν δύναμιν δυσανταγώνιστον κρίναντες, λόχοις τισὶ καὶ ἐνέδραις καταστρατηγοῦσι τὸν ἀντικείμενον. οὕτως ὁ τῆς κακίας στρατηγὸς ἐπὶ τῶν νόμῳ καὶ ἀρετῇ δυναμωθέντων οὐκέτι κατὰ πρόσωπον ἀντεξάγει τὴν δύναμιν ἀλλ' ἐνέδραις τισὶ κατὰ τὸ ἀφανὲς τὴν ἐπιβουλὴν ἐξεργάζεται. καλεῖ τοίνυν εἰς συμμαχίαν κατὰ τῶν ἐπιβουλευομένων παρ' αὐτοῦ τὴν γοητείαν, ἣν ἡ μὲν ἱστορία φησὶ μάντιν εἶναί τινα ἢ καὶ οἰωνιστήν, ἔκ τινος ἐνεργείας δαιμόνων βλαπτικὴν

1 I Tim 4, 2 5-6 I Joh 5, 19 24 sqq Num 22, 2 sqq

ΚΛΟSH 1 κεκαυτηρίασται KO v 2 ἀνέδην S et ut vid Λ²: ἀναίδην KO v et ut vid Λ 3 ἐκκέκαυται Λ καὶ om Λ 5 οὗτος post κόσμος add KOS v 9 πορείαν: ὁδοιπορίαν v 10 τριβεῖσάν: τριφθεῖσάν KOSH v 11 κακίαν v 12 ἐπεὶ δέ: εἴπερ δέ KO ἐπειδὴ H 13 καὶ om KO 14 κακὸν: καλὸν Λ ἐξευρίσκουσα ΚΛΟ v 15 τὸ μεῖζον H 17 τὸ στόμα Λ 18 δυσκαταγώνιστον S v κρίναντες: κρίνοντες S ὁρῶντες H v λόχοις: λόγοις v τισὶ om KOH v 20 στρατηγὸς: στρατὸς v ἐπὶ om H τῶν τῷ KO 22 ἐργάζεται Λ 24 μάντιν: μαντικὴν ΚΛΟ 25 ἢ καὶ H: ἢ om ΚΛΟS v οἰωνιστικὴν ΚΛΟ ἐνεργείας: ἐργασίας H συνεργίας Mess 50 Vat 2090

δήπου δύναμιν ἔχοντα κατὰ τῶν ὑπεναντίων καὶ μισθωθέντα παρὰ τοῦ κρατοῦντος τῶν Μαδιανιτῶν ἐφ᾽ ᾧ τε βλάψαι διὰ κατάρας τοὺς τῷ θεῷ ζῶντας, τοῦτον τρέψαι τὴν κατάραν εἰς εὐλογίαν. ἡμεῖς δὲ νοοῦμεν διὰ τοῦ ἀκολούθου τῶν προτεθεωρημένων τὸ μηδὲ τὴν γοητείαν ἐνεργὸν κατὰ τῶν ἐν ἀρετῇ ζώντων εἶναι ἀλλὰ πάσης ὑπερισχύειν ἐπιβουλῆς τοὺς διὰ τῆς θείας συμμαχίας ὠχυρωμένους.

421 M. Τὸ γὰρ τὴν οἰωνοσκοπικὴν ἐπιτηδεύειν μαντείαν τὸν μνημονευθέντα μαρτυρεῖται παρὰ τῆς ἱστορίας ἐν οἷς φησιν τά τε μαντεῖα διὰ χειρὸς ἔχειν αὐτὸν καὶ παρὰ τῶν οἰωνῶν συμβουλεύεσθαι, καὶ πρό γε τούτων ὅτι διὰ τοῦ ὀγκηθμοῦ τῆς ὄνου τὰ περὶ τῆς προκειμένης αὐτῷ σπουδῆς ἐδιδάσκετο. ἧς τὸν φθόγγον, διὰ τὸ συνήθως αὐτὸν ταῖς τῶν ἀλόγων φωναῖς κατά τινα δαιμονίαν ἐνέργειαν συμβουλεύεσθαι, ὡς ἔναρθρον ἡ γραφὴ διηγήσατο, ἐνδεικνυμένη ὅτι τοὺς προειλημμένους τῇ τοιαύτῃ τῶν δαιμόνων ἀπάτῃ μέχρι τούτων φθάνειν, ὡς ἀντὶ λόγου δέχεσθαι τὴν ἐκ τῆς ποιᾶς παρατηρήσεως γινομένην αὐτοῖς ἐκ τῆς φωνῆς τῶν ἀλόγων διδασκαλίαν. ᾗ προσχών, δι᾽ αὐτῶν ὧν ἠπατᾶτο, τὸ ἄμαχον τῆς καθ᾽ ὧν ἐμισθώθη δυνάμεως ἐξεπαιδεύθη. καὶ γὰρ ἐν τῇ εὐαγγελικῇ ἱστορίᾳ παρεσκεύαστο μὲν εἰς ἀντίστασιν τῆς τοῦ κυρίου ἐξουσίας τὸ συγκρότημα τῶν δαιμόνων ἡ Λεγεών. πλησιάσαντος δὲ τοῦ ἔχοντος κατὰ πάντων τὸ κράτος, βοᾷ τὴν ὑπερέχουσαν δύναμιν καὶ οὐχ ὑποκρύπτεται τὴν ἀλήθειαν, ὅτι οὗτός ἐστιν ἡ θεία φύσις ὁ ἐν τοῖς καθήκουσι

22-3 cf Marc 5, 9; Luc 8, 30

ΚΛΟSΗ 1 κατὰ: καὶ v hic lemma περὶ τοῦ μάντεως Βαλαάμ O quod et in margine K 5 μηδὲ: μήτε ΛS 7 συμμαχίας ὠχυρωμένους: βοηθείας εὐωχουμένους H v 8 οἰωνοσκοπείην ut vid Λ (sed corr Λ²) 9 μαρτυρεῖται om H 11 ὀγκηθμοῦ: ἐγκιθμοῦ O μηκυθμοῦ v 13 ἧς: τῆς S 14 δαιμόνων (ex -ον corr) Λ 15 ὡς om S post ἔναρθρον add ὑποκρινομένην πως ὡς S 18 γενομένην H v 19 προσσχών Λ² διὰ τῶν ὧν S ἠπάτητο H 21 μὲν om v 22 καὶ ante ἡ add KO ἡ: ὁ ex corr ut vid Λ 23 πλησιάζοντος KO πλησιάσοντος Λ 24 οὐκ ἐπικρύπτεται S 24-25 καὶ . . . ἀλήθειαν om H

χρόνοις ἐπάξων τοῖς ἡμαρτηκόσι τὴν κόλασιν. λέγει γὰρ ἡ τῶν δαιμόνων φωνή· Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ, καὶ ὅτι ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. ὃ δὴ καὶ τότε ἐγένετο, τῆς παρεπομένης τῷ μάντει δαιμονίας δυνάμεως τὸ ἄμαχόν τε καὶ ἀνανταγώνιστον τοῦ λαοῦ τὸν Βαλαὰμ διδασκούσης. ἡμεῖς δέ φαμεν τοῖς προεξητασμένοις τὴν ἱστορίαν ἁρμόζοντες κατὰ τῶν ἐν ἀρετῇ ζώντων τὸν καταρᾶσθαι βουλόμενον μηδεμίαν δύνασθαι προέσθαι φωνὴν λυπηράν τε καὶ ἀπεμφαίνουσαν, ἀλλὰ τρέπειν τὴν κατάραν εἰς εὐλογίαν. ὃ δὲ νοοῦμεν τοιοῦτόν ἐστιν ὅτι τῶν κατ᾽ ἀρετὴν ζώντων ὁ τῆς λοιδορίας μῶμος οὐχ ἅπτεται. πῶς γὰρ ἐπὶ πλεονεξίᾳ ὁ ἀκτήμων λοιδορηθήσεται; πῶς δέ τις ἐπιθρυλλήσει τὴν ἀσωτίαν τῷ ἀνακεχωρημένῳ καὶ ἰδιάζοντι, ἢ τὸν θυμὸν τῷ πράῳ ἢ τὸν τῦφον τῷ μετριόφρονι ἢ ἄλλο τι τῶν ἐπιμώμων τοῖς ἐκ τῶν ἐναντίων γινωσκομένοις, οἷς ὁ σκοπός ἐστιν ἄμεμπτον παρέχειν τῷ μώμῳ τὸν βίον, Ἵνα, καθώς φησιν ὁ ἀπόστολος, ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων λέγειν; διὰ τοῦτό φησιν ἡ φωνὴ τοῦ εἰς κατάραν παρειλημμένου, πῶς ἀράσομαι ὃν μὴ ἀρᾶται κύριος; τουτέστι, πῶς λοιδορήσομαι τῷ μὴ δεδωκότι τῆς λοιδορίας τὴν ὕλην, ᾧ διὰ τὸ πρὸς τὸν θεὸν βλέπειν ἄτρωτός ἐστιν εἰς κακίαν ὁ βίος;

Οὐ μήν, ἐπειδὴ τούτου διήμαρτεν ὁ τῆς κακίας εὑρετής, καθόλου τῆς κατὰ τῶν ἐπιβουλευομένων ἐπινοίας ἐπαύσατο, ἀλλὰ πρὸς τὸ ἴδιον πάλαισμα τὴν ἐπίνοιαν τρέπει, πάλιν δι᾽ ἡδονῆς πρὸς τὸ κακὸν δελεάζων τὴν φύσιν. ὄντως γὰρ πάσης κακίας οἱόν τι δέλεαρ ἡ ἡδονὴ προβληθεῖσα, εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται.

2-3 cf Marc 1, 24; 5, 7; Luc 4, 34-35 16-18 Tit 2, 8 25-26 Plat Tim 69d

ΚΛΟSH 1 ἡμαρτημένοις Λ 7 τὸ ante κατὰ add v 8 βεβουλημένον v προΐεσθαι v προέσθαι in ras (ut forte ex προσίεσθαι) K 10 τὸ δὲ νοούμενον H v hic lemma πῶς ἀράσομαι ὃν μὴ ἀρᾶται κύριος O et idem in margine habet K τοιοῦτόν: τοῦτό KOSH v 12 ἐπιθρυλήσει KOS 15 τοῖς om Λ (sed in margine suppl Λ²) ὁ om KOSH v 16 ἄμεμπτον: ἄληπτον S v 20 τὸν μὴ δεδωκότα H v τῷ μὴ δεδοικότι KO τὸν om KO 22 διήμαρτον Λ (sed corr Λ²) 25 γὰρ om v 26 ἡ post ἡδονὴ add Λ

μάλιστα δέ πως διὰ τῆς ἀκολάστου ἡδονῆς ἀφυλάκτως ἡ φύσις πρὸς τὸ κακὸν παρασύρεται. ὃ δὴ καὶ τότε ἐγένετο. οἱ γὰρ τῶν ὅπλων ὑπερισχύσαντες καὶ πᾶσαν τὴν ἐκ σιδήρου προσβολὴν ἀσθενεστέραν τῆς ἰδίας δυνάμεως δείξαντες καὶ κατὰ κράτος τὴν φάλαγγα τῶν ἀντικειμένων τρεψάμενοι, τοῖς 424 M. γυναικείοις βέλεσι δι' ἡδονῆς κατετρώθησαν. καὶ τῶν μὲν ἀνδρῶν κρείττους, τῶν δὲ γυναικῶν ἥττους ἐγένοντο. ὁμοῦ τε γὰρ ὤφθησαν αὐτοῖς αἱ γυναῖκες ἀντὶ ὅπλων τὰς μορφὰς προβαλλόμεναι, καὶ παραχρῆμα τοῦ τόνου τῆς ἀνδρείας λήθην ἐλάμβανον τὸν θυμὸν εἰς ἡδονὴν διαλύσαντες. καὶ οἱ μὲν ἦσαν ἐν τούτοις, ἐν οἷς εἰκὸς εἶναι τοὺς τῇ ἀθέσμῳ μίξει τῶν ἀλλοφύλων ἐπιλυσσήσαντας. ἡ δὲ πρὸς τὸ κακὸν οἰκειότης τῆς τοῦ καλοῦ συμμαχίας ἀλλοτρίωσις ἦν. εὐθὺς γὰρ αὐτοῖς ἐξεπολεμώθη τὸ θεῖον ἀλλ' οὐκ ἀνέμενεν ὁ ζηλωτὴς Φινεὲς τῇ ἄνωθεν ψήφῳ καθαρθῆναι τὴν ἁμαρτίαν, ἀλλ' αὐτὸς ἐγένετο δικαστὴς ἅμα καὶ δήμιος. κινηθεὶς γὰρ εἰς τὴν κατὰ τῶν λελυσσηκότων ὀργὴν τὸ τοῦ ἱερέως ἔργον ἐποίησεν αἵματι καθαρίσας τὴν ἁμαρτίαν, αἵματι οὐκ ἀναιτίου τινὸς ζῴου, τοῦ μηδὲν μετεσχηκότος τοῦ τῆς ἀκολασίας μιάσματος, ἀλλὰ τῶν ἐν κακίᾳ συνεζευγμένων ἀλλήλοις· ἐφ' ὧν ἡ αἰχμὴ κατὰ ταὐτὸν τῶν δύο σωμάτων διεξελθοῦσα ἔστησε τῆς θείας δίκης τὴν κίνησιν, τῷ θανάτῳ τῶν ἡμαρτηκότων τὴν ἡδονὴν καταμίξασα.

Δοκεῖ δέ μοι συμβουλήν τινα ψυχωφελῆ κατατίθεσθαι τοῖς ἀνθρώποις ἡ ἱστορία, δι' ἧς διδασκόμεθα ὅτι πολλῶν ὄντων παθῶν, ἃ τοὺς λογισμοὺς τῶν ἀνθρώπων καταγωνίζε-

13 sqq cf Num 25, 1 sqq et 31, 14-15 15-23 Num 25, 6-8

ΚΛΟSH 6 κατεστρώθησαν Λ 9 περιβαλλόμεναι H 11 εἶναι: ἦν S 12 ἐπιλυττήσαντες S τὸ om sed postea suprascr O 13 καλοῦ: ἀγαθοῦ v in margine περὶ Φινεὲς καὶ τῶν πεπορνευκότων ΚΟ 14 ἀνέμεινεν ΚΟSH v 18 ἐποίησεν: ἐπλήρωσεν v 19 μετεσχηκότος ΚΛΟ v: συνεσχηκότος SH συμμετεσχηκότος C Vat 444 21 κατὰ ταὐτὸν ΛH: ταὐτὸν om S κατ' αὐτῶν ΚΟ v post ταὐτὸν repet ἡ αἰχμὴ Λ at expunxit manus alt 22 ἔστησε: κατεπράϋνε ex Hoeschelio v τὴν ante κίνησιν post ἔστησε coll v

ται, οὐδεμίαν καθ' ἡμῶν ἰσχὺν ἕτερον πάθος ἔχει τοσαύτην, ὡς πρὸς τὴν νόσον τῆς ἡδονῆς ἐξισοῦσθαι. τὸ γὰρ ἀθρόως τοὺς Ἰσραηλίτας ἐκείνους, τοὺς καὶ τῆς Αἰγυπτίας ἵππου κρείττους ἐπιδειχθέντας καὶ τῶν Ἀμαληκιτῶν ὑπερσχόντας, καὶ τῷ μετὰ τούτους ἔθνει φοβεροὺς φανέντας καὶ μετὰ ταῦτα τῆς τῶν Μαδιανιτῶν ὑπερισχύσαντας φάλαγγος, τούτους ὁμοῦ τῇ θέᾳ τῶν ἀλλοφύλων γυναικῶν καταδουλωθῆναι τῇ νόσῳ, οὐδὲν ἕτερον, καθὼς εἴρηται, δείκνυσιν ἢ τὸ δύσμαχαν εἶναί τινα καὶ δυσανταγώνιστον πολέμιον ἡμῶν τὴν ἡδονήν. ἢ τῶν ἀηττήτων τοῖς ὅπλοις ὁμοῦ τῷ φανῆναι κατακρατήσασα τὸ τῆς ἀτιμίας ἤγειρε κατ' αὐτῶν τρόπαιον, ὑπὸ μάρτυρι τῷ φωτὶ τὴν αἰσχύνην αὐτῶν στηλιτεύσασα. βοσκήματα γὰρ δι' ἑαυτῆς τοὺς ἀνθρώπους ἀπέδειξεν, οὓς ἡ κτηνώδης καὶ ἄλογος πρὸς τὴν ἀκολασίαν ὁρμὴ ἐκλαθέσθαι τῆς ἀνθρωπίνης ἀνέπεισε φύσεως, μηδὲ ἐπικρυπτομένους τὸ ἄγος ἀλλ' ἐμπομπεύοντας τῇ ἀτιμίᾳ τοῦ πάθους καὶ ἐγκαλλωπιζομένους τῷ τῆς αἰσχύνης μιάσματι συῶν δίκην ἀναφανδὸν ἐν ταῖς ἀλλήλων ὄψεσι τῷ τῆς ἀκαθαρσίας βορβόρῳ ἐγκαλινδουμένους.

Τί οὖν τῷ διηγήματι παιδευόμεθα; τὸ μαθόντας ἡμᾶς ὅσην ἰσχὺν πρὸς τὸ κακὸν τῆς ἡδονῆς ἔχει ἡ νόσος, ὡς ὅτι μάλιστα πόρρω τοῦ τοιούτου γειτονήματος τὸν ἑαυτῶν ἀποικίζειν βίον, ὡς ἂν μή τινα πάροδον καθ' ἡμῶν λάβοι ἡ νόσος, οἷόν τι πῦρ διὰ τοῦ προσεγγισμοῦ τὴν πονηρὰν φλόγα κατεργαζόμενον. τοῦτο γὰρ διδάσκει λέγων ἐν τῇ Σοφίᾳ Σολομὼν μὴ ἐπιψαύειν τοῦ ἄνθρακος γυμνῷ τῷ ποδὶ

26-p 138, 1 Prov 6, 28, 27; cf Soph Antig 618-19

ΚΛΟSΗ 1 ἰσχὺν καθ' ἡμῶν ΚΟ 2 ἐξισοῦσθαι: ἐξισάζεσθαι SH v ἀθρόους ΚΟ 3 καὶ: κατὰ Η 4 Ἀμαλικιτῶν ΚΟ ὑπερισχύοντας Λ ὑπερέχοντας ΚΟ 5 μετ' αὐτοὺς v φανέντας: ὀφθέντας ΚΟ 6 ὑπερισχύσαντος ΚΛ 9 εἶναί τινα: τινα εἶναι Η τε εἶναι v 14 ἀκόλαστον ὁρμὴν ΛS 15 φύσεως in ras corr Λ² (in margine scr φυ alt manus) μηδ' v 16 ἀτιμίᾳ: ἀταξίᾳ Λ 19 ἐγκαλινδουμένους Η v et (ex -οι ut vid corr) Λ: ἐγκυλινδούμενοι ΚΟS 20 διηγήματι: ὁδηγήματι Η 21 ἡ (ante νόσος) post κακὸν transpos S v 22 τὸν: τῶν Η 23 καθ' ἡμῶν πάροδον Λ λάβοι: λάβῃ S v 25 τῇ om ΚΗ

μηδὲ πῦρ τῷ κόλπῳ ἐναποτίθεσθαι, ὡς ἐν ἡμῖν ὂν ἐν ἀπαθείᾳ μένειν ἕως ἂν πόρρωθεν ὦμεν τοῦ ὑπεκκαίοντος. εἰ δὲ κατὰ τοῦτο γενοίμεθα, ὡς ἐπιψαῦσαι τῆς διακαοῦς ταύτης θερμότητος, ἐγκόλπιον τὸ πῦρ τῆς ἐπιθυμίας γενήσεται καὶ οὕτως ἐπακολουθήσεται καὶ τῷ ποδὶ ἡ καῦσις καὶ ἡ διαφθορὰ τῷ κόλπῳ.

Ἐν δὲ τῷ εὐαγγελίῳ ὁ κύριος τῇ ἰδίᾳ φωνῇ, ὡς ἂν πόρρωθεν διαφυλαχθείημεν τοῦ τοιούτου κακοῦ καθάπερ τινὰ ῥίζαν τοῦ πάθους τὴν διὰ τοῦ ἰδεῖν ἐγγινομένην ἐπιθυμίαν ἐξέτεμε, διδάσκων ὅτι ὁ τῇ ὄψει τὸ πάθος παραδεξάμενος ὁδὸν δίδωσι καθ᾽ ἑαυτοῦ τῇ νόσῳ. τὰ γὰρ πονηρὰ τῶν παθημάτων λοιμοῦ δίκην, ἐπειδὰν ἅπαξ τῶν καιρίων κατακρατήσῃ, τῷ θανάτῳ παύεται μόνῳ.

Ἀλλ᾽ οὐδέν, οἶμαι, χρὴ μηκύνειν τὸν λόγον πάντα τοῦ Μωϋσέως τὸν βίον εἰς ἀρετῆς ὑπόδειγμα προτιθέντα τοῖς **425 M.** ἐντυγχάνουσι. τῷ γὰρ πρὸς τὴν ὑψηλοτέραν ζωὴν ἑαυτὸν ἀνατείναντι, οὐ μικρὰ γένοιτ᾽ ἂν πρὸς τὴν ἀληθῆ φιλοσοφίαν ἐφόδια τὰ εἰρημένα. τῷ δὲ μαλακιζομένῳ πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας, κἂν πολλαπλάσια γραφῇ τῶν εἰρημένων, οὐδὲν ἂν ἐκ τοῦ πλήθους μέγα γένοιτο κέρδος. πλὴν ὡς ἂν μὴ τοῦ κατὰ τὸ προοίμιον διορισμοῦ λήθη γένοιτο, ἐν οἷς ἡμῖν ὁ

9 sqq Matth 5, 19; cf I Joh 2, 16 21 κατὰ τὸ προοίμιον: cf supra p 4, 17-18

ΚΛΟSH 1 μηδὲ: μὴ . . . (acsi in μηδὲ corrigere voluit) Λ μήτε δὲ v ὡς: ἕως S ἐν: ἐφ᾽ Λ ἐν̏ (= ἔνεστι?) S ἐνῆν Z ὂν om S 2 ὑποκαίοντος Λ 3 κατ᾽ αὐτὸ SH v γενόμεθα KO διακαοῦς KSH v: διακαούσης O δικαιούσης Λ διακαιούσης $Λ^2$ ταύτην Λ 5 οὕτω Λ ἐπακολουθήσει Λ v 6 διαφορὰ K et (quamvis corr prima manu) O 8 φυλαχθείημεν ΚΛΟΗ v καθάπαξ KOSH τινὰ: τὴν KOSH 9 ἐγγινομένην om v τῇ ἐπιθυμίᾳ H 10-11 ὁδὸν . . . νόσῳ: ὅλην δίδωσι . . . τὴν νόσον S in margine ἐπίλογος habet K^2 12 ἐπειδὰν: ἐπὰν H τῷ καιρίῳ Λ 14 χρὴ: χρῆναι KOH v 15 rasuram ante βίον H προτιθέντας v προτεθέντα KO 17 ἀνατείνοντι KS 18 ὑπὲρ om Λ 20 πλήθους: πόνου v μέγα S: om ΚΛΟΗ v κέρδος . . . γένοιτο hom causa om KOS κέρδος Λ: ὄφελος H v 21 τοῦ $Λ^2$ Mess 50 Vat 2090: om Λ τοῦτο H v τὸν τοῦ προοιμίου H: τὸν προοιμίου v διορισμὸν H v γένοιτο λήθη H ἐν οἷς ΚΛΟΗ v: ἐπεὶ οὖν S

λόγος διϊσχυρίζετο, τοιοῦτον εἶναι τὸν τέλειον βίον, οὗ μηδεμία περιγραφὴ τελειότητος κωλύει τὴν πρόοδον, ἀλλ᾽ ἡ πρὸς τὸ κρεῖττον ἀεὶ γινομένη τοῦ βίου ἐπαύξησις ὁδός ἐστι τῇ ψυχῇ πρὸς τελείωσιν, καλῶς ἂν ἔχοι πρὸς τὸ πέρας τοῦ βίου Μωϋσέως ἀγαγόντας τὸν λόγον ἀσφαλῆ δεῖξαι τὸν ἀποδοθέντα ἡμῖν ὅρον τῆς τελειότητος. ὁ γὰρ διὰ τοσούτων ἀναβάσεων παρὰ πάντα τὸν βίον ὑψούμενος οὐκ ἠπόρησε γενέσθαι πάλιν ἑαυτοῦ ὑψηλότερος, ὡς ἄν, οἶμαι, διὰ πάντων ἀετοῦ δίκην ὑπερνεφὴς αὐτοῦ θεωροῖτο ἡ ζωὴ καὶ μετέωρος περὶ τὸν αἰθέρα τῆς νοητῆς ἀναβάσεως ἑλισσομένη. ἐτέχθη ὅτε τεχθῆναι τὸν Ἑβραῖον παρὰ τοῖς Αἰγυπτίοις ἀδίκημα ἔδοξε. τοῦ τυράννου νόμῳ τότε τὸν τεχθέντα κολάζοντος κρείττων γίνεται τοῦ φθοροποιοῦ νόμου, περισωθεὶς τὰ μὲν πρῶτα παρὰ τῶν γεννησαμένων, μετὰ ταῦτα δὲ παρὰ τῶν τεθεικότων τὸν νόμον. καὶ οἷς ὁ θάνατος αὐτοῦ νόμῳ κατεσπουδάσθη, οὗτοι οὐ τῆς ζωῆς μόνον ἀλλὰ καὶ τῆς εὐδοκίμου τροφῆς πᾶσαν εἰσηνέγκαντο πρόνοιαν διὰ πάσης σοφίας ἀγαγόντες τὸν νέον. κρείττων μετὰ ταῦτα γίνεται τῆς ἀνθρωπίνης τιμῆς καὶ τῆς βασιλικῆς ἀξίας ὑπέρτερος, ἰσχυρότερον εἶναι καὶ βασιλικώτερον κρίνας, ἀντὶ τῶν δορυφόρων καὶ τοῦ βασιλικοῦ κόσμου τὴν τῆς ἀρετῆς φρουρὰν ἔχειν καὶ τῷ ταύτης κόσμῳ ἐγκαλλωπίζεσθαι. μετὰ τοῦτο περισῴζεται τὸν ὁμόφυλον καὶ καταβάλλει τῇ πληγῇ τὸν

8 cf Deut 28, 49 et alibi

ΚΛOSH 1 διϊσχυρίζεται KOSH v 2 κωλύῃ Λ 3 ἀεὶ om S ἐγγινομένη S 5 ἀγαγόντ( ) Λ 7 ἀναβάσεων: ἀναβὰς δι᾽ ὧν KOS 8 ἄν om KO 10 περὶ: πρὸς SH 11 τὸ post ὅτε add S v δεχθῆναι H τὸν om v 12 ἔδοξαι (ε supra αι) H δὲ ante τυράννου add v τότε νόμῳ KSH v τῷ τε νόμῳ O 13 μὲν om sed in margine add O 13-14 τὰ μὲν πρῶτα om H 14 παρά τε τῶν H γεννησαμένων . . . τῶν om KOS μετὰ . . . παρὰ om H παρ᾽ αὐτῶν τῶν v καὶ ante τῶν add H 15 ὁ om H αὐτοῦ om S 16 κατεσπουδάσθη: κατεδικάσθη H οὗτοι οὐ τῆς: οἱ τοιούτης Λ (sed corr partim Λ[2]) 17 τροφῆς: ζωῆς KOSH v εἰσενέγκαντο KOS 20 ἰσχυρώτερον H εἶναι om v 21 κόσμου: νόμου H τὴν om H 22 κόμῳ defectuose H 23 σώζεται H τὸν (pr): τὸ H v

Αἰγύπτιον, νοούντων ἡμῶν διὰ τῆς ἐξεταστικῆς θεωρίας τόν τε ἐχθρὸν τῆς ψυχῆς καὶ τὸν φίλον. εἶτα διδάσκαλον τῶν ὑψηλῶν μαθημάτων ποιεῖται τὴν ἡσυχίαν καὶ οὕτω φωτίζεται τὴν διάνοιαν τῷ φωτὶ τῷ ἐκ τῆς βάτου ἐκλάμψαντι. καὶ τότε σπουδὴν ποιεῖται κοινωνῆσαι τοῖς ὁμοφύλοις τῶν θεόθεν αὐτῷ γεγενημένων καλῶν. ἐν τούτοις διπλῆν ἐποιήσατο τῆς δυνάμεως τὴν ἐπίδειξιν, τὴν μὲν ἀμυντικὴν κατὰ τῶν ἐναντίων ἐν πολυτρόποις τε δείξας καὶ ἐπαλλήλοις ταῖς πληγαῖς, τὴν δὲ εὐεργετικὴν ἐπὶ τῶν ὁμοφύλων. διάγει διὰ τοῦ πελάγους τὸν τοσοῦτον λαὸν ποδί, οὐ στόλον ἑαυτῷ νηῶν κατασκευάσας ἀλλὰ τὴν πίστιν αὐτοῖς πρὸς τὸν διέκπλουν ναυπηγησάμενος χέρσον ποιεῖ τοῖς Ἑβραίοις τὸν βυθόν, θάλασσαν δὲ τοῖς Αἰγυπτίοις τὴν χέρσον. ᾖσε τὰ ἐπινίκια. ὡδηγήθη τῷ στύλῳ. ἐφωτίσθη τῷ οὐρανίῳ πυρί. τράπεζαν ἐκ τῆς ἄνωθεν τρυφῆς ἑαυτῷ παρεστήσατο. τῆς πέτρας ἐνεφορήθη. τὰς χεῖρας ἀνέτεινεν ἐπὶ τῇ τῶν Ἀμαληκιτῶν ἀπωλείᾳ. προσβαίνει τῷ ὄρει, ἐν γνόφῳ γίνεται, σάλπιγγος ἤκουσε, τῇ θείᾳ φύσει προσήγγισεν, ὑπὸ τῆς ἄνω σκηνῆς περιεσχέθη, τὴν ἱερωσύνην ἐκόσμησε, τὴν σκηνὴν ἐπήξατο, τοῖς νόμοις τὴν ζωὴν διωρίσατο, τοὺς τελευταίους πολέμους κατὰ τὸν εἰρημένον τρόπον κατώρθωσεν. ἐπὶ τέλει τῶν κατορθωμάτων τὴν ἀκολασίαν διὰ τῆς ἱερωσύνης ἐκόλασε. τοῦτο γὰρ ἡ διὰ τοῦ Φινεὲς γενομένη
428 M. κατὰ τοῦ πάθους ὀργὴ ὑπηνίξατο. ἐπὶ πᾶσι τούτοις πρόσεισι τῷ ὄρει τῆς ἀναπαύσεως. οὐκ ἐπιβαίνει τῆς κάτω γῆς, πρὸς ἣν πᾶς ὁ λαὸς ἐξ ἐπαγγελίας ἑώρα. οὐ γεύεται γηΐνης ἔτι τροφῆς

ΚΛΟSH 1 ἐξεταστικῆς: μυστικῆς H 3 οὕτως KO 4 διάνοιαν in ras H 5 καὶ τότε om KOS ad κοινωνῆσαι in margine μεταδοῦναι habet K 8 ἐναναντίων per ditt H δείξας om v ταῖς om Λ v 9 διὰ om Λ 10 τοσοῦτον: τοιοῦτον H 11 κατασκευάσας KO et (κευ in ras) Λ: παρασκευάσας SH v 12 διέκπλουν KOS et ut vid ante corr Λ: διεύπλουν post corr Λ διάπλουν H v 13 χέρσον: θάλασσαν SH v ᾖσαι H 15 τροφῆς S v 15-16 τοῦ τῆς πέτρας ὕδατος S 19 ἄνω: ἄνωθεν H v σκηνῆς: φωνῆς H τιμῆς KO ἐκόσμισεν O 20 διωρίσατο: διωρθώσατο Λ v 26 πᾶς ὁ: κάτω ὁ SH ὁ κάτω v ὡς post λαὸς add S τροφῆς ἔτι H v

ὁ τῇ ἄνωθεν ἐπιρρεούσῃ ζῆν μελετήσας, ἀλλ' ἄνω γενόμενος κατ' αὐτὴν τοῦ ὄρους τὴν ἀκρώρειαν, ὥσπερ τις ἀνδριαντοποιὸς ἐπιστήμων ὅλον ἑαυτοῦ τὸν ἀνδριάντα τοῦ βίου ἐξεργασάμενος ἀκριβῶς ἐπὶ τῷ ἄκρῳ τῆς κατασκευῆς, οὐχὶ τελευτὴν ἀλλὰ κορυφὴν τῷ ἔργῳ ἐπέθηκε.

Τί γάρ φησι περὶ αὐτοῦ ἡ ἱστορία; ὅτι ἐτελεύτησεν Μωϋσῆς οἰκέτης κυρίου διὰ ῥήματος θεοῦ καὶ οὐδεὶς ἔγνω τὴν ταφὴν αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ οὐκ ἠμαυρώθησαν καὶ τὸ πρόσωπον αὐτοῦ οὐκ ἐφθάρη. διδασκόμεθα γὰρ ὅτι διὰ τοσούτων κατορθωμάτων γενόμενος τότε ἀξιοῦται τοῦ ὑψηλοῦ τούτου ὀνόματος, ὥστε κληθῆναι οἰκέτης θεοῦ, ὅπερ ἴσον ἐστὶν εἰπεῖν ὅτι παντὸς κρείττων ἐγένετο. οὐ γὰρ ἄν τις θεῷ δουλεύσειε, μὴ τῶν ἐν τῷ κόσμῳ πάντων κρείττων γενόμενος. τοῦτο δὲ αὐτὸ καὶ τέλος ἐστὶ τοῦ κατ' ἀρετὴν βίου διὰ ῥήματος θεοῦ κατορθούμενον. ὃ δὴ τελευτὴν ἡ ἱστορία λέγει, τελευτὴν ζῶσαν, ἣν οὐ διαδέχεται τάφος, ᾗ οὐκ ἐπιχώννυται τύμβος, ἡ τοῖς ὀφθαλμοῖς ἀμαυρότητα καὶ προσώπῳ διαφθορὰν οὐκ ἐπάγουσα. τί οὖν παιδευόμεθα διὰ τῶν εἰρημένων; πρὸς ἓν τέλος διὰ τοῦ βίου βλέπειν, τὸ τοῦ θεοῦ οἰκέται διὰ τῶν βεβιωμένων κληθῆναι. ὅταν γὰρ πάντας τοὺς ἐχθροὺς καταγωνίσῃ, τὸν Αἰγύπτιον, τὸν Ἀμαληκίτην, τὸν Ἰδουμαῖον, τὸν Μαδιανίτην, καὶ περάσῃς τὸ ὕδωρ καὶ φωτισθῇς τῇ νεφέλῃ καὶ γλυκανθῇς διὰ τοῦ ξύλου καὶ πίῃς τῆς πέτρας καὶ τῆς ἄνωθεν γεύσῃ τροφῆς καὶ

2 sqq cf Plotin Enn I, 6, 9 16 sqq cf supra p 32, 22 sq

ΚΛΟSH 1 ζῆν ΚΛΟ: om v ζωῇ SH Mess 50 Vat 2090 forte recte 3 ἑαυτοῦ: αὐτοῦ H 4 οὐχὶ: οὐ v 5 κορυφὴν ἀλλὰ τελευτὴν H 7 ὁ Μωϋσῆς v οἰκέτης: ἱκέτης v 9 διὰ τοῦτων post γὰρ add v 11 οἰκέτης κληθῆναι H v 11-12 ἐστὶν ἴσον H v 14 αὐτὸ: αὐτῷ v 16 ᾗ: ἣν S 17 τῷ προσώπῳ v 19 post εἰρημένων in margine τὸ Λ² διὰ om Λ τὸ: τὸν v θεοῦ om H 20 οἰκέται Λ: οἰκέτης S οἰκέτην ΚΟΗ v in margine ἀνακεφαλαίωσις S 22 post ὕδωρ add ὁ ut vid H 23 φωτισθεὶς Λ (sed corr Λ²) γλυκανθεὶς Λ (sed corr Λ²) 24 supra πίης τῆς scr ἐκ τοῦ π(έτρου?) Λ² καὶ om Λ (sed sscr Λ²)

διὰ τῆς καθαρότητός τε καὶ ἁγνείας ὁδοποιήσῃς σεαυτῷ τὴν ἐπὶ τὸ ὄρος ἄνοδον, κἀκεῖ γενόμενος κατηχηθῇς τὸ θεῖον μυστήριον τῇ τῶν σαλπίγγων ἠχῇ καὶ ἐν τῷ δυσθεωρητῷ γνόφῳ διὰ πίστεως τῷ θεῷ προσεγγίσῃς κἀκεῖ διδαχθῇς τὰ τῆς σκηνῆς μυστήρια καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὅταν γένῃ τῶν σῶν καρδίων λαοξόος, ὥστε ἐν ταύταις παρὰ τοῦ θεοῦ τὰ θεῖα λόγια ἐγχαράξαι, ὅταν τὸ τοῦ χρυσοῦ εἴδωλον ἐξαφανίσῃς, τουτέστιν ἐὰν τὴν πλεονεκτικὴν δύναμιν ἐξαλείψῃς τοῦ βίου, ὅταν τοσοῦτον ὑψωθῇς, ὥστε ἄμαχος φανῆναι τῇ γοητείᾳ τοῦ Βαλαάμ (γοητείαν δὲ ἀκούσας νόησόν μοι τὴν ποικίλην τῆς ζωῆς ταύτης ἀπάτην, δι' ἧς οἱ ἄνθρωποι, καθάπερ τινὶ Κιρκαίῳ κρατῆρι φαρμακευόμενοι, τῆς ἰδίας ἐκστάντες φύσεως εἰς ἀλόγων μορφὰς μεταπλάττονται), ὅταν διὰ πάντων γένῃ τούτων καὶ βλαστήσῃ ἐν σοὶ τῆς ἱερωσύνης ἡ ῥάβδος, ἡ μηδεμίαν τινὰ γῆς ἰκμάδα πρὸς τὴν βλάστην ἐφελκομένη, ἀλλ' οἴκοθεν τοῦ καρποῦ τὴν δύναμιν ἔχουσα καὶ καρπὸν καρύου, οὗ ἡ μὲν πρώτη ἔντευξις πικρά τε καὶ κατεστυμμένη, τὸ δὲ ἐγκείμενον ἡδὺ καὶ ἐδώδιμον, ὅταν πᾶν τὸ ἐπανιστάμενον κατὰ τοῦ σοῦ ἀξιώματος εἰς ἀφανισμὸν χωρήσῃ κατὰ τὸν Δαθὰν ὑπόγειον γενόμενον ἢ ἐκδαπανηθὲν

12-13 cf Hom Odyss 10, 212 sqq; Horat Epist I, 2, 23-6

ΚΛΟSH 1-2 διὰ τῆς . . . κἀκεῖ γενόμενος om solus Λ (non tamen C) forte recte, nam hic primo asceseos notiones interiectae verborum continuationem vexare videntur 2 κατηχηθεῖς Λ 4 τῆς πίστεως ΚΟΗ v προσεγγίσεις Η διδαχθεὶς Λ τὰ om Η 6 λαοξόος: λατόμος v 6-7 παρὰ τοῦ θεοῦ Λ: om ΚΟ coll ante ὅταν Η v 7 τὰ θεῖα λόγια ἐγχαράξαι (ἐγκεχαράχθαι) ΚΟS (Η v) ἐγχαράξαι ΚΛΟS: ἐγκεχαράχθαι Η v 8 ἐὰν om ΚΗ v πλεονεκτικὴν: πλεονεξίαν Η δύναμιν Λ: ἐπιθυμίαν ΚΟSΗ v 9 ἄμαχον ΚΟ 10 Βαλαάμ: Ἁβραάμ Η 12 τινὶ: τι S Κιρκαίῳ: Κιρκέῳ ΚΟ Κιρκύῳ (= -είῳ? sed υ in ras) Λ in margine Κίρκη· γυνὴ μάγος Κ 13 ἐνστάντες ut vid Η nisi sit ἐκ- defectuose scriptum 16 καρποῦ: καιπτοῦ Η 17 καρπὸν ΚΛΟ: καρποῦ SΗ v καρύου ΚΟ: καροίου (=ύου) Λ καρυΐνου SΗ v 18 κατεστυμμένη (vel forte -ειμμένη) Λ: -εμμένη corr ut vid $Λ^2$ τούτοις ante ἡδὺ add v 19 σοῦ om S 20 κατὰ τὸν Δαθὰν Λ v: om ΚΟSΗ γενόμενον om Η ἢ om Λ

τῷ πυρὶ κατὰ τὸν Κορέ, τότε προσεγγίσεις τῷ τέλει.

Τέλος δὲ λέγω οὗ εἵνεκα πάντα γίνεται, οἷον τέλος τῆς γεωργικῆς ἡ ἀπόλαυσις τῶν καρπῶν, τέλος τῆς κατασκευῆς τοῦ οἴκου ἡ οἴκησις, τέλος τῆς ἐμπορίας ὁ πλοῦτος, 429 M. καὶ τοῖς ἀγῶσι τῶν πόνων οἱ στέφανοι· οὕτω καὶ τῆς ὑψηλῆς πολιτείας τοῦ βίου τέλος τὸ κληθῆναι οἰκέτην θεοῦ, ᾧ συνθεωρεῖται τὸ μὴ ἐπιχωσθῆναι τῷ τύμβῳ· τοῦτο δέ ἐστι τὸ γυμνήν τε καὶ ἀπέριττον τῶν πονηρῶν ἐφολκίων τὴν ζωὴν γενέσθαι. τῆς δὲ δουλείας ταύτης καὶ ἕτερον γνώρισμά φησιν ὁ λόγος, τὸ μήτε ὀφθαλμὸν ἀμαυρωθῆναι μήτε πρόσωπον διαφθαρῆναι. ὁ γὰρ ἐν φωτὶ διὰ παντὸς ὢν ὀφθαλμὸς πῶς ἀμαυρωθήσεται διὰ σκότους οὗ ἠλλοτρίωται; καὶ ὁ τὴν ἀφθαρσίαν ἐν πάσῃ τῇ ζωῇ κατορθώσας οὐδεμίαν πάντως φθορὰν ἐφ' ἑαυτοῦ παραδέχεται. ὁ γὰρ ἀληθῶς κατ' εἰκόνα θεοῦ γεγονὼς καὶ μηδαμοῦ παρατραπεὶς τοῦ θεοῦ χαρακτῆρος ἐφ' ἑαυτοῦ τὰ γνωρίσματα φέρει καὶ συμβαίνει διὰ πάντων τῇ ὁμοιώσει πρὸς τὸ ἀρχέτυπον τῷ ἀφθαρτῷ τε καὶ ἀναλλοιώτῳ καὶ πάσης ἀμιγεῖ κακίας τὴν ἰδίαν καλλωπίζων ψυχήν.

Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ θεοῦ, περὶ τῆς τοῦ βίου τοῦ κατ' ἀρετὴν τελειότητος ὁ βραχὺς ἡμῶν οὗτος ὑποτίθεται λόγος, οἷόν τι πρωτότυπον ἐν μορφῇ κάλλους τὸν τοῦ μεγάλου

10-11 Deut 34, 7

ΚΛΟ(SH) (ex 21 οἷον usque ad p 145, 4 βίου deficiunt **SZH**) 1 τῷ πυρὶ: τῷ H cui supra lineam αὐ- scr H² κατὰ τὸν Κορέ om KOSH τότε: τότο (sic) O προσεγγίσεις KO: προσεγγίσει H προσεγγίσῃς ΛS v τῷ: τὸ H 2 ἕνεκα v 3 ἡ om H τῶν καρπῶν om SH v 5 τοῖς ἐν τοῖς ἀγῶσι KOH τῶν ἐν τοῖς ἀγῶσι S v τῶν om S v ὁ στέφανος SH v 6 τοῦ βίου om KOSH v 7 συνθεωρεῖθαι (vix -σθαι) ut vid S τὸ: καὶ S ἀποχωσθῆναι Λ ὑποχωσθῆναι SH v τῷ (ante τύμβῳ) suprascr H 10-11 μήτε . . . διαφθαρῆναι in textu om at in margine add K 11 ἂν post πῶς add H v 12 τοῦ σκότους H v 14 διαφθορὰν S 17 τῇ ἀφθάρτῳ S 18 ψυχὴν καλλωπίζων KOH v 19 ὦ . . . θεοῦ post τελειότητος coll Mess 50 Vat 2090 τοῦ (pr) om v 20 nomen Καισάριε ante ὁ βραχὺς add H Mess 50 Vat 2090 Q codd recc v tit πρὸς Καισάριον μόναχον praebet Vat 444 at nihil tale hoc loco οὗτος om KOHS 21-p 145 4 οἷον . . . βίου om SZH forte recte ut opinor haud scio an homiliam intrusam

Μωϋσέως ὑπογράψας σοι βίον, ἐφ' ᾧ τε τοὺς καθ' ἕκαστον ἡμῶν διὰ τῆς τῶν ἐπιτηδευμάτων μιμήσεως ἐν ἑαυτοῖς μεταγράφειν τοῦ προδειχθέντος ἡμῖν κάλλους τὸν χαρακτῆρα. τοῦ γὰρ κατωρθωκέναι τὸν Μωϋσέα τὴν ἐνδεχομένην τελειότητα τίς ἂν ἡμῖν ἀξιοπιστότερος εὑρεθείη μάρτυς τῆς θείας φωνῆς ἥ φησι πρὸς αὐτὸν ὅτι Ἔγνων σε παρὰ πάντας, ἀλλὰ καὶ τὸ φίλον αὐτὸν ὀνομασθῆναι θεοῦ παρ' αὐτοῦ τοῦ θεοῦ καὶ τὸ συναπολέσθαι μᾶλλον ἑλόμενον μετὰ πάντων, εἰ μὴ κἀκείνοις, ἐφ' οἷς ἐπλημμέλησαν, ἱλεωθείη δι' εὐμενείας τὸ θεῖον, στῆσαι κατὰ τῶν Ἰσραηλιτῶν τὴν ὀργήν, τὴν ἰδίαν κρίσιν τοῦ θεοῦ παρατρέψαντος, ἵνα μὴ λυπήσῃ τὸν φίλον; καὶ πάντα τὰ τοιαῦτα μαρτυρία σαφής ἐστι καὶ ἀπόδειξις τοῦ πρὸς τὸν ἀκρότατον τῆς τελειότητος ὅρον ἀναβεβηκέναι τοῦ Μωϋσέως τὸν βίον.

Ἐπεὶ οὖν τοῦτο παρ' ἡμῶν τὸ ζητούμενον ἦν, τί τὸ τέλειον τῆς ἐναρέτου πολιτείας ἐστίν, εὑρέθη δὲ διὰ τῶν εἰρημένων τὸ τέλειον, ὥρα σοι, ὦ γενναῖε, πρὸς τὸ ὑπόδειγμα βλέπειν καὶ τὰ δι' ὑψηλοτέρας ἀναγωγῆς θεωρηθέντα περὶ τῶν ἱστορικῶς εἰρημένων ἐπὶ τὸν ἴδιον μεταφέροντα βίον γνωσθῆναί τε ὑπὸ τοῦ θεοῦ καὶ φίλον γενέσθαι αὐτῷ. τοῦτο γάρ ἐστιν ὡς ἀληθῶς ἡ τελειότης τὸ μηκέτι δουλοπρεπῶς φόβῳ κολάσεως τοῦ κατὰ κακίαν βίου χωρίζεσθαι μηδὲ τῇ τῶν μισθῶν ἐλπίδι τὸ ἀγαθὸν ἐνεργεῖν πρακτικῇ τινι καὶ συναλλαγματικῇ διαθέσει κατεμπορευομένους τῆς ἐναρέτου ζωῆς ἀλλ' ὑπεριδόντας πάντων καὶ τῶν ἐν ἐπαγγελίᾳ δι'

6 Ex 33, 12, 17 7 Ex 33, 11

(cf 1-2: ἕκαστον ἡμῶν) vel opusculum de Dei amore; namque quae hic dicta sunt de amicitia cum Deo haud bene congruunt cum doctrina Moysis servitutis (δουλεία) quae antea agitabatur **ΚΛΟ**(**SH**) 1 ὑπογράψας σοι Λ: ὑπογράψαντα ΚΟ v τε om v 2 ἡμᾶς ΚΟ 5 πιστότερος ΚΟ 11 τοῦ θεοῦ κρίσιν v 12 καὶ (alt) om ΚΟ 13 ὅρον ante τῆς coll ΚΟ 15 τὸ alt om Ο διὰ post τέλειον add ΚΟ 17 σοι: σοῦ ut vid Κ 20 τοῦ Λ: om ΚΟ v αὐτῷ Λ Mess 50 Vat 2090: om ΚΟ αὐτοῦ v 21 μηκέτι ΚΛΟ: μὴ v 23 πρακτικῇ Λ: πραγματικῇ ΚΟ πραγματευτικῇ v 24 συναλλάγματι ΚΟ 25 ἐπαγγελίαις ΚΟ

ἐλπίδος ἀποκειμένων, μόνον ἡγήσασθαι φοβερὸν τὸ τῆς φιλίας ἐκπεσεῖν τοῦ θεοῦ καὶ μόνον τίμιόν τε καὶ ἐράσμιον ἑαυτοῖς κρῖναι τὸ φίλον γενέσθαι θεῷ, ὅπερ ἐστὶ κατά γε τὸν ἐμὸν λόγον ἡ τελειότης τοῦ βίου. ὅ τι δ' ἂν παρὰ σοῦ πρὸς τὸ μεγαλοπρεπέστερόν τε καὶ θειότερον ἐπαρθείσης σοι τῆς διανοίας εὑρεθῇ (πολλὰ δέ, εὖ οἶδα, ἐφευρεθήσεται), κοινὸν πάντως ἔσται τὸ κέρδος.

ΚΛΟ(**SH**) (usque ad 4 βίου deficiunt **SZH**) 1 ἡγεῖσθαι KO v 2 τοῦ θεοῦ ἐκπεσεῖν v 4 sqq ὅ τι usque ad finem om Mess 50 Vat 2090 5 τε om H 6 εὑρεθῇ . . . οἶδα om KO πολλὰ . . . οἶδα ΛS: εὖ om H post πολλῶν δὲ lac (om εὖ οἶδα) Monac 538 v 7 ὅτι post οἶδα add S παρευρεθήσεται H εὑρεθήσεται Λ v κοινὰ H ἔσται πάντως v κέρδος: κῆδος H post quod cum signo crucis terminatur post κέρδος nil addito KOS add ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν Λ ἐν Χριστῷ Ἰησοῦ ἀμήν C ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας ἀμήν Monac 538 v

104755

104755
BR
65
G73
1952
v.7
pt.1

Gregorius, Saint
Opera

DATE DUE	BORROWER'S NAME
MY 19 '71	Muehlenberg

Gregorius
Opera-v.7 pt.1

THEOLOGY LIBRARY
SCHOOL OF THEOLOGY AT CLAREMONT
CLAREMONT, CALIFORNIA

PRINTED IN U.S.A.